« Ἐπειδή λοιπόν μέσα στήν κτίση δέν ὑπάρχει ἀταξία ἀλλά τάξη, καί δέν ὑπάρχει ἔλλειψη μέτρου ἀλλά συμμετρία, καί δέν ὑπάρχει χάος ἀλλά εὐταξία καί σέ ὅλα ἁρμονική συγκρότηση τοῦ κόσμου, πρέπει νά σκεπτόμαστε καί νά ἐννοοῦμε κατά κάποιο τρόπο τό Δεσπότη, πού δυνέδεσε καί στερέωσε ὅλα αὐτά μαζί. Γιατί, ἄν καί αὐτός εἶναι ἀόρατος μέ τά μάτια, ὅμως εἶναι δυνατό ἀπό τήν τάξη καί τήν ἐναρμόνιση τῶν ἀντιθέτων νά συλλάβουμε μέ τή δύναμη τῆς διάνοιάς μας τόν ἄρχοντα καί διακοσμητή καί βασιλιά τους. Ὅπως ἀκριβῶς συμβαίνει σέ μιά πολιτεία, πού συγκροτεῖται ἀπό πολλούς καί διάφορους ἀνθρώπους, ἀπό μικρούς καί μεγάλους, καί ἀκόμα ἀπό πλουσίους καί φτωχούς, γέροντες καί νέους, ἄντρες καί γυναῖκες· ἄν βλέπαμε τήν πολιτεία αὐτή νά ἔχει κατοίκους πού ζοῦν μέ καλή τάξη, καί ἄν βλέπαμε αὐτούς πού ὑπάρχουν μέσα σ' αὐτή, ἐνῶ εἶναι διαφορετικοί, νά ἔχουν ὁμόνοια μεταξύ τους καί νά μή στρέφονται οἱ πλούσιοι ἐναντίον τῶν φτωχῶν, οὔτε οἱ μεγάλοι ἐναντίον τῶν μικρῶν, οὔτε οἱ νέοι ἐναντίον τῶν γερόντων, ἀλλά ὅλοι νά ζοῦν εἰρηνικά μέ ἴσα μερίδια· ἄν βλέπαμε λοιπόν ὅλα αὐτά, θά κάναμε τή σκέψη, ὅτι ἡ ὕπαρξη κάποιου ἄρχοντα κάνει δυνατή τήν ὁμόνοια, ἔστω καί ἄν αὐτό δέν τόν βλέπουμε. Γιατί ἡ ἀταξία εἶναι γνώρισμα τῆς ἀναρχίας· ἡ τάξη δείχνει τόν ἡγεμόνα.... Ἔτσι μέσα στήν τάξη καί τήν ἁρμονία τοῦ σύμπαντος πρέπει νά βλέπουμε νοερά τόν κυρίαρχο τοῦ παντός Θεό, καί Αὐτόν μάλιστα ὡς ἕναν καί ὄχι ὡς πολλούς».

35. Μετάφραση

«Κάποιος ἔστησε ἕνα μικρό καλύβι ἀνάμεσα στ' ἀμπέλια καί, ἀφοῦ πῆρε τόν καρπό, τό ἐγκατέλειψε ἔρημο· τό καλύβι συχνά δέ διατηρεῖται οὔτε δυό ἡμέρες, ἀλλά διαλύεται καί πέφτει κάτω γρήγορα. Ἄν λοιπόν ἕνα καλύβι δέ θά μποροῦσε νά σταθεῖ ὄρθιο χωρίς ἐκεῖνον πού θά φροντίσει γι' αὐτό, τότε ἕνα δημιούργημα τόσο πολύ ὡραῖο καί θαυμαστό, καί οἱ νόμοι τῆς νύχτας καί τῆς ἡμέρας, καί οἱ

ὡραία παρομοίωση τή θεία πρόνοια ὡς διακυβέρνηση τοῦ κόσμου, στήν ὁποία ὀφείλεται ἡ τάξη καί ἡ ἁρμονία τοῦ σύμπαντος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χορεῖαι, καὶ φύσεως δρόμος ποικίλος τις καὶ παντοδαπὸς ἐν γῇ καὶ θαλάττῃ καὶ ἀέρι καὶ οὐρανῷ καὶ φυτοῖς καὶ ζώοις πετομένοις, νηχομένοις, βαδίζουσιν, ἕρπουσι καὶ ἐν τῷ πάντων ἐκείνων κυριωτέρῳ ἀνθρώπων γένει, πῶς ἂν διέμεινεν ἐπὶ τοσοῦτον ἀδιάπτωτον χρόνον χωρὶς προνοίας τινός; Μετὰ γὰρ τῶν εἰρημένων ἔπελθέ μοι τοὺς λειμῶνας τῷ λόγῳ, τοὺς παραδείσους, τὰ γένη τῶν ἀνθῶν, τὰς βοτάνας ἁπάσας, τὰς χρείας αὐτῶν, τὴν εὐωδίαν, τὰ σχήματα, τὴν θέσιν, τὰ ὀνόματα μόνον· τὰ δένδρα τα ἔγκαρπα, τὰ ἄκαρπα, τῶν μετάλλων τὴν φύσιν ...· τὰ ὄρη, τὰς νάπας, τοὺς δρυμούς, τὸν κάτω λειμῶνα, τὸν ἄνω λειμῶνα καὶ γὰρ ἐν τῇ γῇ λειμὼν καὶ ἐν τῷ οὐρανῷ λειμών, τὰ ποικίλα τῶν ἄστρων ἄνθη, κάτω ῥόδα, ἄνω ἶρις. Βούλει καὶ ἐπὶ τῶν ὀρνίθων σοι δείξω λειμῶνα; Κατάμαθε τοῦ ταὼ τὸ σῶμα τὸ ποικίλον καὶ πᾶσαν ὑπερβαῖνον βαφήν, τοὺς πορφυρίζοντας στρουθούς. Ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ πόσον ἔχει χρόνον καὶ οὐκ ἠμαυρώθη, ἀλλ' ὥσπερ σήμερον κατασκευασθείς, οὕτως ἐστὶν ἀποστίλβων καὶ λαμπρός ... Ἀλλὰ τὶς ὁ σοφὸς τῶν ἀπίστων λόγος, ὅταν ἅπαντα ταῦτα διέλθωμεν πρὸς αὐτούς, τὸ μέγεθος, τὸ κάλλος τῆς κτίσεως, τὴν δαψίλειαν, τὴν ἀφθονίαν τὴν ἐν ἅπασιν;».

36. Η ΣΥΝΕΝΩΣΗ ΤΟΥ ΟΡΑΤΟΥ ΚΑΙ ΑΟΡΑΤΟΥ ΚΟΣΜΟΥ ΣΤΟΝ ΑΝΘΡΩΠΟ

(Γρηγορίου τοῦ Ναζιανζηνοῦ).

«Ὁ τεχνίτης Λόγος ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς ..., οἷόν

---

35. Περικοπή τῆς 10ης ἀπό τίς 21 ὁμιλίες τοῦ Χρυσοστόμου «εἰς τούς ἀνδριάντας» (Ε.Π. 49,114).

Πραγματικές παρατηρήσεις: τάς βοτάνας ἁπάσας, τάς χρείας αὐτῶν· Χαρακτηριστικοί σχετικά εἶναι οἱ λόγοι τοῦ Παράκελσου: «Κάθε λιβάδι καί λαγκάδι, κάθε βουνὸ καὶ λόφος εἶναι φαρμακεῖον τοῦ Θεοῦ». **καὶ πᾶσαν ὑπερβαῖνον βαφήν.** Χαρακτηριστική εἶναι πάνω στά φτερά ἡ ἀμφίπλευρη ἁρμονία τῶν χρωμάτων καί ἀπό τά δύο μέρη τοῦ στελέχους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κυκλικοί χοροί τῶν ἐποχῶν τοῦ ἔτους, πού διαδέχονται ἡ μιά τήν ἄλλη, καί ἡ πορεία τῆς φύσεως μέ τήν ποικιλία καί τίς κάθε εἴδους μορφές στή γῆ καί τή θάλασσα καί τόν ἀέρα καί τόν οὐρανό καί (τίς κάθε εἴδους μορφές) ἀνάμεσα στά πτηνά καί τά φυτά καί τά ζῶα πού κολυμποῦν, πού βαδίζουν, πού σέρνονται, καί μέσα σέ αὐτά τό κυριότερο, τό γένος τῶν ἀνθρώπων, ὅλα αὐτά πῶς θά διατηροῦνταν μέσα στόν τόσο ἀδιάκοπο χρόνο, χωρίς κάποια πρόνοια; Μαζί μέ ὅσα ἔχουν εἰπωθεῖ, ἔλα νά μοῦ μιλήσεις γιά τά λιβάδια, τούς ὡραίους κήπους, τά εἴδη τῶν λουλουδιῶν, ὅλα τά βότανα, τή χρησιμοτητά τους, τό ἄρωμα, τά σχήματα, τή θέση, τά ὀνόματα μόνο· τά δέντρα τά καρποφόρα, τά ἄκαρπα, τή φύση τῶν μετάλλων... τά βουνά, τίς δασωμένες κοιλάδες, τά δάση, τό κάτω λιβάδι, τό πάνω λιβάδι – ἐπειδή καί στή γῆ ὑπάρχει λιβάδι καί στόν οὐρανό ὑπάρχει λιβάδι – τά ποικίλα λουλούδια τῶν ἄστρων, κάτω τριαντάφυλλα, πάνω τό οὐράνιο τόξο. Θέλεις νά σοῦ δείξω καί στά πτηνά ἕνα λιβάδι; ἐξέτασε μέ προσοχή τό σῶμα τοῦ παγονιοῦ πού εἶναι πλουμιστό καί ξεπερνᾶ κάθε ἄλλο χρωματισμό, τά σπουργίτια πού ἔχουν χρῶμα πρός τό σκοτεινό. Κάμε μου τή χάρη νά ἐξετάσεις πόσο χρόνο ὑπάρχει τό κάλλος τοῦ οὐρανοῦ, δίχως νά χάσει τή λάμψη του, ἀλλά σάν νά κατασκευάστηκε σήμερα, ἔτσι λάμπει καί εἶναι φωτεινός... Ἀλλά ποιά λογικά ἐπιχειρήματα θά εἶχαν νά προβάλουν οἱ ἄπιστοι, ὅταν παρουσιάσουμε μέ λεπτομέρεια σ' αὐτούς ὅλα αὐτά, δηλαδή τό μέγεθος, τό κάλλος τῆς κτίσεως, τόν πλοῦτο, τήν ἀφθονία, πού ὑπάρχει σέ ὅλα;».

36. Μετάφραση

«Ὁ δημιουργός Λόγος τοῦ Θεοῦ ἀπό τά δυό συστατικά, δηλαδή τήν ἀόρατη καί τήν ὁρατή φύση, δημιουργεῖ ἕνα ζωντανό πλάσμα, τόν ἄνθρωπο· καί ἀφοῦ πῆρε τό σῶμα ἀπό τήν ὕλη, πού ἤδη εἶχε δημιουργηθεῖ, καί ἀφοῦ ἔβαλε μέσα σ' αὐτό πνοή ἀπό τόν ἑαυτό

---

36. Περικοπή ἀπό τόν 38ο λόγο Γρηγορίου τοῦ Θεολόγου στά Θεοφάνεια ἤ στά Γενέθλια τοῦ Σωτῆρα (Ἑ.Π. 36, 321-322).

Πραγματικές παρατηρήσεις: ὁ τεχνίτης Λόγος: εἶναι σταθερό δίδαγμα τῆς Ἁγίας Γραφῆς καί τῶν πατέρων, ὅτι ὁ Θεός δημιούργησε τόν κόσμο διά τοῦ Υἱοῦ ἤ Λόγου του. Πρβλ. Ἰωάν. α', 3: «Πάντα δι' αὐτοῦ ἐγένετο καί χωρίς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν». **παρά τῆς ὕλης· πνοήν ἐνθείς·** πρβλ. Γεν. β', 7: «Καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τινα κόσμον δεύτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἵστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος· τὸν αὐτὸν πνεῦμα καὶ σάρκα· ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον».

37. ΤΟ ΜΕΓΑΛΕΙΟ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

(Ἰωάννου τοῦ Χρυσοστόμου).

«Καὶ τὸν βραχὺν τοῦτον καὶ τρίπηχυν καὶ τοσούτῳ τῶν ἀλόγων ἐλάττονα κατὰ τὴν τοῦ σώματος ἰσχύν, ὑψηλότερον πάντων ἐποίησε, λογικὴν ψυχὴν αὐτῷ χαρισάμενος, ὅπερ ἐστὶ μάλιστα τιμῆς τεκμήριον. Διὰ γὰρ τούτου καὶ πόλεις ᾠκοδόμησε καὶ θάλατταν ἔτεμε καὶ γῆν ἐκαλλώπισε καὶ τέχνας μυρίας ἐξεῦρε καὶ τῶν ἀγριωτέρων ἀλόγων περιεγένετο καὶ τὸ δὴ πάντων μέγιστον καὶ πρῶτον τὸν ποιήσαντα αὐτὸν ἐπέγνω Θεὸν καὶ πρὸς ἀρετὴν ἐχειραγωγήθη καὶ ἔγνω τὶ μὲν καλόν, τὶ δὲ οὐ τοιοῦτον, Θεῷ προσεύχεται τῶν ὁρωμένων μόνος· ἀποκαλύψεων ἀπέλαυσε, καὶ τοῦτο μόνος πάλιν· δι' αὐτὸν γῆ, δι' αὐτὸν οὐρανός, δι' αὐτὸν ἥλιος καὶ ἀστέρες· δι' αὐτὸν σελήνης δρόμοι καὶ ὡρῶν καὶ τροπῶν διαφοραί· δι' αὐτὸν καρπῶν γενέσεις καὶ φυτὰ καὶ ἀλόγων γένη τοσαῦτα· δι' αὐτὸν ἡμέρα καὶ δι' αὐτὸν νύξ· δι' αὐτὸν ἀπόστολοι καὶ προφῆται ἐπέμφθησαν, δι' αὐτὸν ἄγγελοι πολλάκις ἀπεστάλησαν. Τὶ δεῖ τὰ πολλὰ λέγειν; Οὐδὲ γὰρ δυνατὸν ἅπαντα ἐπελθεῖν. Δι' αὐτὸν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε καὶ ἐσταυρώθη καὶ ἐτάφη καὶ τὰ φρικώδη θαύματα ἐκεῖνα μετὰ τὴν ἀνάστασιν δι' αὐτὸν γέγονε».

ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν».

37. Περικοπή ἀπό τό λόγο τοῦ Χρυσοστόμου στόν 48ο ψαλμό (Ἑ.Π. 55, 220-221).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

του..., τόν τοποθετεῖ πάνω στή γῆ, ὡς ἕναν κατά κάποιο τρόπο δεύτερο κόσμο, μεγάλο αὐτόν μέσα σέ μικρό κόσμο, ἕνα ἄλλο ἄγγελο, προσκυνητή γῆς καί οὐρανοῦ, ἐπιτηρητή τοῦ ὁρατοῦ κόσμου, μυημένο ὅμως στά μυστικά τοῦ ἀόρατου κόσμου, βασιλιά τῶν ἐπιγείων, ἀλλά ὑπήκοο στήν ἄνω βασιλεία, ἐπίγειο καί οὐράνιο, πρόσκαιρο καί ἀθάνατο, ὁρατό καί ἀόρατο, στή μέση μεγαλείου καί ταπεινότητας· τόν ἴδιο πνεῦμα καί σάρκα, μιά ζωντανή ὕπαρξη, πού στόν κόσμο ἐδῶ ἔχει τήν θέση του, ἀλλά πρός ἄλλο τόπο μετακινεῖται (ἀποδημεῖ) καί πού, κι αὐτό ἀποτελεῖ τό ἀποκορύφωμα τοῦ μυστηρίου, φτάνει στή θέωσή του μέ τή κλίση του πρός τόν Θεό».

37. Μετάφραση.

«Καί τόν ἀσήμαντο αὐτό ἄνθρωπο, πού ἔχει ὕψος μόλις τρεῖς πῆχες καί εἶναι τόσο πολύ κατώτερος ἀπό τά ζῶα στή σωματική δύναμη, τόν ἔκαμε πολύ ἀνώτερο ἀπό ὅλα, ἀφοῦ χάρισε σ' αὐτό λογική ψυχή, πράγμα πού εἶναι πολύ μεγάλη ἀπόδειξη τιμῆς σ' αὐτόν. Γιατί (ὁ ἄνθρωπος) μέ τό λογικό καί πόλεις ἔχτισε καί τή θάλασσα διέσχισε καί τή γῆ στόλισε, καί τέχνες ἀναρίθμητες ἐπινόησε, καίνίκησε τά πιό ἄγρια ζῶα καί, ἐκεῖνο πού εἶναι τό μεγαλύτερο ἀπό ὅλα καί τό πρῶτο, γνώρισε συνειδητά τό Θεό πού τόν ἔπλασε, καί πρός τήν ἀρετή χειραγωγήθηκε καί γνώρισε τί εἶναι καλό καί τί δέν εἶναι. Ἀπό ὅλα ὅσα βλέπουμε, μόνος αὐτός προσεύχεται στό Θεό· πῆρε θεῖες ἀποκαλύψεις, καί αὐτό πάλι μόνος αὐτός· γι' αὐτόν ὑπάρχει ἡ γῆ, γι' αὐτόν ὁ οὐρανός, γι' αὐτόν ὁ ἥλιος καί τά ἄστρα· γι' αὐτόν ὑπάρχει ἡ τροχιά τῆς σελήνης καί οἱ διαφορές τῶν ἐποχῶν τοῦ ἔτους καί οἱ μεταβολές τῆς θέσεως τῶν ἄστρων· γι' αὐτόν ἡ παραγωγή τῶν καρπῶν καί τόσα πολλά φυτά καί εἴδη ζώων· γι' αὐτόν ἡ ἡμέρα καί ἡ νύχτα· γι' αὐτόν στάλθηκαν ἀπόστολοι καί προφῆτες, γι' αὐτόν ἄγγελοι πολλές φορές ἦρθαν ὡς ἀπεσταλμένοι. Ἀλλά γιατί πρέπει νά ἀναφέρω πολλά; Ἄλλωστε δέν εἶναι δυνατό νά τά ἐξετάσουμε ὅλα ἀκριβῶς. Γι' αὐτόν ὁ μονογενής Υἱός τοῦ Θεοῦ ἔχει γίνει ἄνθρωπος καί σταυρώθηκε καί θάφτηκε· καί τά θαύματα ἐκεῖνα μετά τήν ἀνάσταση, πού προκαλοῦν ἔκπληξη καί φόβο, γιά τόν ἄνθρωπο ἔχουν γίνει»

Πραγματικές παρατηρήσεις: θαύματα μετά τήν ἀνάσταση· ἐμφανίσεις τοῦ «Ἀναστάντος», Ἀνάληψη, Πεντηκοστή, ἐξάπλωση τῆς Ἐκκλησίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

38. Η ΕΝΑΝΘΡΩΠΗΣΗ ΤΟΥ ΘΕΟΥ
(Γρηγορίου τοῦ Ναζιανζηνοῦ).

«Αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου κάλλους, ἡ μὴ κινουμένη σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς λόγος ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων καὶ πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος ... Ὁ ὢν γίνεται· καὶ ὁ ἄκτιστος, κτίζεται ... καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα. Καὶ ὁ πλήρης κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. Τὶς ὁ πλοῦτος τῆς ἀγαθότητος; Τὶ τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; Μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα· μεταλαμβάνει τῆς ἐμῆς σαρκός, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ».

39. Η ΘΕΙΑ ΧΑΡΗ ΩΣ ΠΝΕΥΜΑΤΙΚΟ ΥΔΩΡ
(Κυρίλλου Ἱεροσολύμων).

«Πίνωμεν ἀπὸ ὕδατος ζῶντος, ἀλλομένου εἰς ζωὴν αἰώνιον. Τοῦτο δὲ εἶπεν ὁ Σωτὴρ περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Καὶ διατὶ ἆρα τὴν πνευματικὴν χάριν ὕδωρ ὠνόμασεν; Ἐπειδὴ δι' ὕδατος ἡ σύστασις τῶν ἁπάντων· ἐπειδὴ χλοοποιὸν καὶ ζωοποιόν ἐστι τὸ ὕδωρ· ἐπειδὴ ἐξ οὐρανῶν κατέρχεται τὸ τῶν ὄμβρων ὕδωρ· ἐπειδὴ μονοειδὲς μὲν κατέρχεται, πολυειδῶς δὲ

---

38. Περικοπή από τόν 45ο λόγο Γρηγορίου τοῦ Θεολόγου στό ἅγιο Πάσχα (Ε.Π. 36, 633-636).

Πραγματικές παρατηρήσεις: ὁ τοῦ Θεοῦ Λόγος· πρβλ. Ματθ. ιστ', 16 καί Ἰωάν. α', 1. **τοῦ ἀρχετύπου κάλλους**· ὁ Θεός εἶναι κατά τούς Πατέρες τό ἀπόλυτο καί «πανυπερτέλειο» κάλλος. Καί στό «Συμπόσιο» τοῦ Πλάτωνα ἀναφέρεται ὡς τό ἀπόλυτο «καλό», τό «ἀεὶ ὂν καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε αὐξανόμενον οὔτε φθῖνον».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

38. Μετάφραση.

«Αὐτός ὁ ἴδιος ὁ Λόγος τοῦ Θεοῦ, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπεριόριστος, ὁ ἀσώματος, ἡ ἀρχή ἀπό τήν ἀρχή, τό φῶς ἀπό τό φῶς, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας, τό ἀποτύπωμα τοῦ πρωτότυπου κάλλους, ἡ ἀκίνητη σφραγίδα, ἡ ἀμετάβλητη εἰκόνα, ὁ λόγος τοῦ Πατέρα ἔρχεται πρός τή δική του εἰκόνα καί φορεῖ τό ἀνθρώπινο σῶμα γιά χάρη τοῦ ἀνθρώπου καί παίρνει λογική ψυχή γιά χάρη τῆς δικῆς μου ψυχῆς, καθαρίζοντας τό ὅμοιο μέ τό ὅμοιο, καί γίνεται σέ ὅλα ἄνθρωπος, ἐκτὸς ἀπό τήν ἁμαρτία... Ὁ αἰώνιος Θεός γίνεται ἄνθρωπος· καί Αὐτός πού δέ δημιουργήθηκε, δημιουργεῖται... καί Ἐκεῖνος πού κάνει τούς ἄλλους πλουσίους, γίνεται φτωχός· παίρνει τή φτώχια τοῦ ἀνθρώπινου σώματός μου, γιά νά πάρω ἐγώ τόν πλοῦτο τῆς θεότητάς Του. Καί Αὐτός πού εἶναι γεμάτος (ἀπό τά ἀγαθά τῆς θείας φύσεως), ἀποβάλλει τό θεῖο μεγαλεῖο Του, ἀφοῦ ἀποξενώνεται γιά λίγο χρόνο ἀπό τή δόξα Του, γιά νά πάρω κι' ἐγώ μέρος στόν πλοῦτο τῶν θείων Του ἀγαθῶν. Ποιός εἶναι ὁ πλοῦτος τῆς θείας ἀγαθότητας; Ποιό εἶναι τό μυστήριο αὐτό σχετικά μέ ἐμένα; Ἔλαβα τήν εἰκόνα (τοῦ Θεοῦ) καί δέν τή φύλαξα· παίρνει τή δική μου σάρκα, γιά νά σώσει τήν εἰκόνα καί νά κάνει τή σάρκα (τήν ἀνθρώπινη φύση) ἀθάνατη».

39. Μετάφραση.

«Ἄς πίνουμε ἀπό τό ἀστείρευτο νερό, πού ἀναβλύζει γιά νά δίνει ζωή αἰώνια. Αὐτό εἶπε ὁ Σωτήρας γιά τό ἅγιο Πνεῦμα, τό ὁποῖο θά ἔπαιρναν ἐκεῖνοι πού πιστεύουν σ' Αὐτόν. Ἀλλά γιατί ἄραγε τήν πνευματική χάρη τήν ὀνόμασε νερό; Ἐπειδή ὅλα μέ τό νερό σχηματίζονται· Ἐπειδή τό νερό εἶναι ἐκεῖνο πού δημιουργεῖ τή βλάστηση καί δίνει ζωή· ἐπειδή ἀπό τούς οὐρανούς πέφτει τό νερό τῆς βροχῆς· ἐπειδή πέφτει μέ μιά μορφή ἀλλά ἐνεργεῖ μέ πολλούς

---

39. Περικοπή ἀπό τή 16η Κατήχηση τοῦ Κυρίλλου Ἱεροσολύμων (Ἑ.Π. 33, 932-933).

Πραγματικές παρατηρήσεις: ὕδατος ζῶντος· Ἰωάν. δ', 10· πρόκειται γιά τό νερό τῆς πηγῆς πού τρέχει, καί ὄχι γιά νερό πού εἶναι ἀκίνητο στή δεξαμενή ἤ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐνεργεῖ. Μία μὲν γὰρ πηγὴ ὅλον παράδεισον ἐπαρδεύει· εἷς δὲ καὶ ὁ αὐτὸς ὑετὸς κατέρχεται ἐν παντὶ τῷ κόσμῳ· καὶ γίνεται λευκὸς μὲν ἐν κρίνῳ, ἐρυθρὸς δὲ ἐν ῥόδῳ, πορφυραῖος δὲ ἐν ἴοις καὶ ὑακίνθοις καὶ διάφορος καὶ ποικίλος ἐν παντοίοις εἴδεσι· καὶ ἐν φοίνικι μὲν ἄλλος, ἐν ἀμπέλῳ δὲ ἄλλος καὶ ἐν πᾶσι τὰ πάντα· μονοειδὴς ὢν καὶ οὐκ ὢν ἄλλος αὐτὸς ἑαυτοῦ. Οὐ γὰρ μεταβάλλων ἑαυτὸν ὁ ὑετός, ἄλλος καὶ ἄλλος κατέρχεται· ἀλλὰ τῇ τῶν ὑποδεχομένων κατασκευῇ συμπεριφερόμενος, ἑκάστῳ τὸ πρόσφερον γίνεται. Οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἓν ὂν καὶ μονοειδὲς καὶ ἀδιαίρετον, ἑκάστῳ διαιρεῖ τὴν Χάριν καθὼς βούλεται. Καὶ ὥσπερ τὸ ξηρὸν ξύλον, ὕδατι κοινωνῆσαν, βλαστοὺς ἐκδίδωσιν· οὕτω καὶ ἡ ἐν ἁμαρτίαις ψυχή, διὰ μετανοίας ἁγίου Πνεύματος καταξιωθεῖσα, βότρυας ἐκφέρει δικαιοσύνης. Μονοειδὲς δὲ ὄν, πολλὰς νεύματι Θεοῦ καὶ ἐν ὀνόματι Χριστοῦ τὰς ἀρετὰς ἐνεργεῖ. Τινὸς μὲν γὰρ συγκέχρηται γλώσσῃ πρὸς σοφίαν. Ἄλλου φωτίζει τὴν ψυχὴν ἐν προφητείᾳ, ἄλλῳ δὲ δίδωσι δύναμιν ἀπελάσαι δαίμονας, ἄλλῳ δὲ δίδωσιν ἑρμηνεῦσαι τὰς θείας Γραφάς· ἄλλου τὴν σωφροσύνην ἐνισχύει, ἄλλον διδάσκει τὰ περὶ ἐλεημοσύνης, ἄλλον διδάσκει νηστεύειν καὶ ἀσκεῖν, ἄλλον διδάσκει καταφρονεῖν τῶν τοῦ σώματος πραγμάτων, ἄλλον ἑτοιμάζει πρὸς μαρτύριον· ἄλλο ἐν ἄλλοις, αὐτὸ δὲ οὐκ ἄλλο ἑαυτοῦ».

40. Η ΑΓΙΑΣΤΙΚΗ ΚΑΙ ΑΝΑΚΑΙΝΙΣΤΙΚΗ ΔΥΝΑΜΗ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ (Ἰωάννου τοῦ Χρυσοστόμου).

«Τὶς γὰρ τοιοῦτος λιμήν, οἷος ἡ Ἐκκλησία; Τὶς τοιοῦτος παρά-

στὸ πηγάδι ἢ στοὺς λάκκους. Καὶ κατὰ τὸν Κύριλλο Ἀλεξανδρείας «ὕδωρ ζῶν ἀποκαλεῖ τὴν ζωοποιὸν τοῦ Πνεύματος δόσιν, δι' ἧς καὶ μόνης ἡ ἀνθρωπότης, πολυτρόποις ἀγαθῶν ἰδέαις περιανθίζεται». **ἀλλομένου εἰς ζωὴν αἰώνιον**· Ἰωάν. δ΄ 14: Ὅπως, γράφει σύγχρονος ξένος ἑρμηνευτής, «τὸ ρεῦμα τοῦ ὕδατος δὲν σταματᾷ ἕως οὗ καταλήξῃ εἰς τὸν ὠκεανόν· τοιουτοτρόπος καὶ τὸ πνευματικὸν ὕδωρ τῆς χάριτος, ὡς οὐράνιον ρεῦμα, ἀναπηδᾷ τεῖνον νὰ ἐπανέλθῃ εἰς τὸ ὕψος, ἐκ τοῦ ὁποίου ἔχει τὴν πηγήν». **Χάριν**· Χάρη εἶναι ἡ ὑπερφυσικὴ δωρεὰ πού παρέχεται μέ τήν ἐνέργεια τοῦ ἁγίου Πνεύματος στόν ἄνθρωπο, γιά νά ἀνακαινίζεται καί νά γίνεται ἄξιος τῆς αἰώνιας σωτηρίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τρόπους. Ἐπειδή μιά πηγή ποτίζει ἕναν ὁλόκληρο ὡραῖο κῆπο· μιά καί ἡ ἴδια ραγδαία βροχή κατεβαίνει σέ ὁλόκληρο τόν κόσμο· καί αὐτή γίνεται λευκή στόν κρίνο, κόκκινη στό τριαντάφυλλο, πορφυρένια στούς μενεξέδες καί τούς ὑάκινθους καί διαφορετική καί ποικιλόχρωμη στίς κάθε εἴδους μορφές τῶν φυτῶν· καί στό φοίνικα γίνεται ἄλλη, στήν κληματαριά διαφορετική καί σ' ὅλα παίρνει ὅλες τίς μορφές, ἄν καί ἔχει μιά μόνο μορφή καί δέν εἶναι διαφορετική αὐτή ἀπό τόν ἑαυτό της. Ἐπειδή ἡ βροχή δέν ἀλλάζει τόν ἑαυτό της, ὥστε νά πέφτει κάθε φορά ἄλλη καί διαφορετική, ἀλλά, ἀφοῦ προσαρμόζεται ἀνάλογα μέ τήν κατασκευή τῶν φυτῶν πού τήν προσλαμβάνουν, γίνεται στό καθένα ἀπό αὐτά αὐτό πού τούς εἶναι ὠφέλιμο. Ἔτσι καί τό ἅγιο Πνεῦμα, ἄν καί εἶναι ἕνα καί μέ μιά μορφή καί ἀδιαίρετο, μοιράζει στόν καθένα τή Χάρη, ὅπως Αὐτό θέλει. Καί καθώς τό ξερό κλαδί, ὅταν ἔρθει σέ ἐπαφή μέ τό νερό, βγάζει βλαστάρια, ἔτσι καί ἡ ψυχή πού ἔζησε μέσα στίς ἁμαρτίες, ἀφοῦ μέ τή μετάνοια γίνει ἄξια τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος, παράγει σταφύλια δικαιοσύνης. Ἐνῶ ἔχει μιά μορφή, μέ ἕνα νεῦμα τοῦ Θεοῦ καί στό ὄνομα τοῦ Χριστοῦ κάνει πολλές τίς ἀρετές. Γιατί στόν ἕνα χρησιμοποιεῖ τή γλώσσα του γιά νά ὁμιλήσει μέ σοφία. Ἄλλου φωτίζει τήν ψυχή στό ἔργο τῆς προφητείας, στόν ἄλλο δίνει δύναμη γιά νά ἐκδιώξει δαίμονες, στόν ἄλλο χαρίζει τήν ἱκανότητα νά ἑρμηνεύσει τίς θεῖες Γραφές· ἄλλου ἐνισχύει τή σωφροσύνη, ἄλλον διδάσκει τά σχετικά μέ τήν ἐλεημοσύνη, ἄλλον διδάσκει νά νηστεύει καί νά ἀσκεῖται, ἄλλον διδάσκει νά περιφρονεῖ τά ὑλικά πράγματα, ἄλλον ἑτοιμάζει γιά τό μαρτύριο. Τό ἅγιο Πνεῦμα διαφορετικό παρουσιάζεται σέ ἄλλους, ἀλλά αὐτό τό ἴδιο δέν εἶναι διαφορετικό ἀπό τόν ἑαυτό του».

40. Μετάφραση.

«Γιατί, ποιό λιμάνι μπορεῖ νά συγκριθεῖ μέ τήν Ἐκκλησία; Ποιός

---

40. Περικοπή ἀπό τήν 8η ὁμιλία τοῦ Χρυσοστόμου γιά τή μετάνοια. (Ἑ.Π. 49, 335-337).

Πραγματικές παρατηρήσεις: φύλλα δένδρων· πρβλ. τά «φύλλα συκῆς», μέ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεισος, ὡς ἡ σύνοδος ἡ ὑμετέρα; Οὐκ ἔστιν ἐνταῦθα ὄφις ἐπιβουλεύων, ἀλλ' ὁ Χριστὸς μυσταγωγῶν· οὐκ ἔστιν Εὔα ὑποσκελίζουσα, ἀλλ' ἡ Ἐκκλησία ὀρθοῦσα· οὐκ ἔστιν ἐνταῦθα φύλλα δένδρων, ἀλλ' ὁ καρπὸς τοῦ πνεύματος· οὐκ ἔστιν ἐνταῦθα φραγμὸς ἀκανθῶν, ἀλλ' ἄμπελος εὐθηνοῦσα. Ἐὰν δὲ ἄκανθαν εὕρω, εἰς ἐλαίαν μεταφέρω· οὐ γὰρ ἀπορίᾳ φύσεως τὰ ἐνταῦθα, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμηται· ἐὰν δὲ λύκον εὕρω, πρόβατον ποιῶ, οὐ τὴν φύσιν μεταβάλλων, ἀλλὰ τὴν προαίρεσιν μεταφέρων. Διὰ τοῦτο οὐκ ἂν ἁμάρτοι τις τῆς κιβωτοῦ τὴν Ἐκκλησίαν μείζονα προσειπών. Ἡ μὲν γὰρ κιβωτὸς παρελάμβανε τὰ ζῷα καὶ ἐφύλαττε ζῷα, ἡ δὲ Ἐκκλησία παραλαμβάνει τὰ ζῷα καὶ μεταβάλλει. Οἷόν τι λέγω· Εἰσῆλθεν ἐκεῖ ἱέραξ καὶ ἐξῆλθεν ἱέραξ· εἰσῆλθε λύκος καὶ ἐξῆλθε λύκος· εἰσῆλθέ τις ἱέραξ ἐνταῦθα καὶ ἐξέρχεται περιστερά· εἰσέρχεται λύκος καὶ ἐξέρχεται πρόβατον· εἰσέρχεται ὄφις καὶ ἐξέρχεται ἀρνίον, οὐ τῆς φύσεως μεταβαλλομένης, ἀλλὰ τῆς κακίας ἐλαυνομένης».

41. Η ΚΑΘΟΛΙΚΟΤΗΤΑ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ (Κυρίλλου Ἱεροσολύμων).

«Καθολικὴ μὲν οὖν καλεῖται (ἡ Ἐκκλησία), διὰ τὸ κατὰ πάσης εἶναι τῆς οἰκουμένης, ἀπὸ περάτων γῆς ἕως περάτων· καὶ διὰ τὸ διδάσκειν καθολικῶς καὶ ἀνελλιπῶς ἅπαντα τὰ εἰς γνῶσιν ἀνθρώπων ἐλθεῖν ὀφείλοντα δόγματα, περί τε ὁρατῶν καὶ ἀοράτων πραγμάτων, ἐπουρανίων τε καὶ ἐπιγείων· καὶ διὰ τὸ πᾶν γένος ἀνθρώπων εἰς εὐσέβειαν ὑποτάσσειν, ἀρχόντων τε καὶ ἀρχομένων, λογίων τε καὶ ἰδιωτῶν· καὶ τὸ καθολικῶς ἰατρεύειν μὲν καὶ θεραπεύειν ἅπαν τὸ τῶν ἁμαρτιῶν εἶδος, τῶν διὰ ψυχῆς καὶ σώματος ἐπιτελουμένων, κεκτῆσθαι δὲ ἐν αὐτῇ πᾶσαν ἰδέαν ὀνομαζομένης ἀρετῆς, ἐν ἔργοις τε

τά ὁποῖα οἱ ἁμαρτήσαντες προωτόπλαστοι κάλυψαν τή γυμνότητά τους. **ἄμπελος**· πρβλ. Ἰωάν. ιε΄, 5. **ἀπορία φύσεως... προαιρέσεως**· συνοπτική διατύπωση τῆς ἀλήθειας, ὅτι στή φύση ἐπικρατοῦν οἱ ἀναγκαστικοί νόμοι, ἐνῶ στήν πνευματική ζωή ἡ ἐλεύθερη ἐνέργεια τοῦ ἀνθρώπου. Ἡ ὅλη περικοπή τονίζει τήν ἁγιαστική καί ἀνακαινιστική δύναμη τῆς Ἐκκλησίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παράδεισος μοιάζει πρός τή δική σας σύναξη; Ἐδῶ δέν ὑπάρχει φίδι πού σχεδιάζει τό κακό, ἀλλά ὁ Χριστός πού ὁδηγεῖ στή μυστηριακή ζωή· δέν ὑπάρχει ἡ Εὔα πού σέ ρίχνει κάτω μέ τρικλοποδιά, ἀλλά ἡ Ἐκκλησία πού ἀνορθώνει· δέν ὑπάρχουν ἐδῶ φύλλα δέντρων, ἀλλά ὁ καρπός τοῦ ἁγ. Πνεύματος. δέν ὑπάρχει ἐδῶ φράχτης μέ ἀγκάθια, ἀλλά ἀμπέλι θαλερό. Ἄν βρῶ ἕνα ἀγκάθι, τό μετατρέπω σέ ἐλιά· γιατί ὅσα ὑπάρχουν ἐδῶ δέν ἐμποδίζονται ἀπό τίς φυσικές δυσκολίες, ἀλλά ἔχουν τιμηθεῖ μέ τήν ἐλευθερία τῆς θελήσεως· ἄν βρῶ ἕνα λύκο, τόν μεταβάλλω σέ πρόβατο, χωρίς νά τοῦ ἀλλάξω τή φύση, ἀλλά μετατρέποντας τή θέληση. Γι' αὐτό δέ θά ἔκανε κανείς λάθος, ἄν ἔλεγε ὅτι ἡ Ἐκκλησία ἔχει μεγαλύτερη ἀξία ἀπό τήν κιβωτό. Γιατί ἡ κιβωτός ἔπαιρνε τά ζῶα καί τά διατηροῦσε, ἐνῶ ἡ Ἐκκλησία παίρνει τά ζῶα καί τά μεταβάλλει. Ἄς χρησιμοποιήσω παραδείγματα. Ἐκεῖ, στήν κιβωτό, μπῆκε γεράκι καί βγῆκε γεράκι· μπαίνει λύκος καί βγαίνει λύκος. Ἐδῶ (στήν Ἐκκλησία) μπῆκε κάποιος γεράκι καί βγαίνει περιστέρι· μπαίνει λύκος καί βγαίνει πρόβατο· μπαίνει φίδι καί βγαίνει ἀρνί, ἐπειδή δέν ἀλλάζει ἡ φύση, ἀλλά διώχνεται ἡ κακία».

41. Μετάφραση.

«Ὀνομάζεται λοιπόν ἡ Ἐκκλησία καθολική, γιατί ἁπλώνεται σέ ὅλη τήν Οἰκουμένη, ἀπό τή μιά ὡς τήν ἄλλη ἄκρη τῆς γῆς· λέγεται ἐπίσης καθολική, γιατί διδάσκει καί ὀρθόδοξα καί ἀσταμάτητα ὅλα τά δόγματα πού πρέπει νά γνωρίσουν οἱ ἄνθρωποι, γιά τά ὁρατά καί τά ἀόρατα πράγματα, γιά τά ἐπουράνια καί τά ἐπίγεια· ἐπίσης (λέγεται καθολική), ἐπειδή ἐπιδιώκει νά ὁδηγήσει στήν εὐσέβεια ὁλόκληρο τό γένος τῶν ἀνθρώπων, δηλαδή καί τούς ἄρχοντες καί τούς ἀρχομένους, καί τούς μορφωμένους καί τούς ἁπλοϊκούς· ἐπίσης (λέγεται καθολική), γιατί γιατρεύει πέρα γιά πέρα καί θεραπεύει ὅλα τά εἴδη τῶν ἁμαρτιῶν πού γίνονται μέ τήν ψυχή καί τό σῶμα, καθώς ἐπίσης καί γιατί μέσα σ' αὐτή ἀποκτάει κανείς κάθε εἶδος τῆς λεγόμενης ἀρετῆς, πού φαίνεται καί στά ἔργα καί στά λόγια καί στά διά-

---

41. Περικοπή ἀπό τή 18η Κατήχηση τοῦ Κυρίλλου Ἱεροσολύμων (Ἑ.Π. 33, 1044).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ λόγοις καὶ πνευματικοῖς παντοίοις χαρίσμασιν. Ἐκκλησία δὲ καλεῖται φερωνύμως διὰ τὸ πάντας ἐκκαλεῖσθαι καὶ ὁμοῦ συνάγειν».

42. Η ΜΕΤΑΝΟΙΑ
(Ἰωάννου τοῦ Χρισοστόμου).

«Ἂν ἔχῃς ἁμαρτήματα, μὴ ἀπογνῷς· οὐ παύομαι ταῦτα συνεχῶς λέγων· κἂν καθ' ἡμέραν ἁμαρτάνῃς, καθ' ἡμέραν μετανόει· καὶ ὅπερ ἐν ταῖς παλαιαῖς ποιοῦμεν οἰκίαις, ὅταν σαθρωθῶσιν, ὑπεξαιρούμεθα τὰ σεσαθρωμένα καὶ καινὰ ἐπισκευάζομεν καὶ οὐδέποτε συνεχοῦς ἐπιμελείας ἐπιλανθανόμεθα, τοῦτο καὶ ἐν ἡμῖν ποιῶμεν. Εἰ ἐπαλαιώθης σήμερον ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σεαυτὸν ἀπὸ τῆς μετανοίας. Καὶ ἔνι, φησί, μετανοήσαντα σωθῆναι; Καὶ πάνυ ἔνι. Πάντα τὸν βίον ἐν ἁμαρτίαις διέτριψα· καὶ ἐὰν μετανοήσω, σῴζομαι; Πάνυ. Πόθεν δῆλον; Ἀπὸ τῆς τοῦ Δεσπότου σου φιλανθρωπίας ... Θεοῦ γὰρ φιλανθρωπίας μέτρον οὐκ ἔστιν, οὐδὲ λόγῳ ἑρμηνευθῆναι δύναται αὐτοῦ ἡ ἀγαθότης... Ἐννόησον σπινθῆρα εἰς πέλαγος ἐμπεσόντα· μὴ δύναται στῆναι ἢ φανῆναι; Ὅσον σπινθὴρ πρὸς πέλαγος, τοσοῦτον κακία πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μᾶλλον δὲ οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ πλέον. Τὸ μὲν γὰρ πέλαγος, κἂν μέγα ᾖ, μέτρον ἔχει· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἀπεριόριστος».

43. Η ΣΥΧΝΗ ΘΕΙΑ ΚΟΙΝΩΝΙΑ
(Μεγάλου Βασιλείου).

«Καὶ τὸ κοινωνεῖν δὲ καθ' ἑκάστην ἡμέραν καὶ μεταλαμβάνειν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, καλὸν καὶ ἐπωφελές, αὐτοῦ σαφῶς λέγοντος· «ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ

Πραγματικές παρατηρήσεις: Ἐκκλησία· αρχικά ή λέξη σήμαινε τή συνέλευση τοῦ δήμου, δηλαδή τῶν πολιτῶν, πού συγκαλοῦνταν από τούς ἁρμοδίους πρός ἀνακοίνωση, σύσκεψη, γνωμοδότηση, ἀπόφαση. Ἡ ὅλη περικοπή παρουσιάζει μέ τρόπο συνοπτικό τούς κυριότερους λόγους, γιά τούς ὁποίους ἡ Ἐκκλησία ὀνομάζεται καθολική. Ἡ Ἐκκλησία ὀνομάζεται ἐπίσης καθολική καί γιατί εἶναι αἰωνόβια. Κατά τό Μ. Ἀθανάσιο, «ἔσται ἡ Ἐκκλησία Χριστοῦ καταστράπτουσα καί φωτίζουσα τήν ὑπ' οὐρανόν καί μένουσα διηνεκῶς ὡς ὁ ἥλιος καί ἡ σελήνη».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φορα πνευματικά χαρίσματα. Ἐκκλησία ἀκόμη ὀνομάζεται σύμφωνα μέ τήν κύρια σημασία τῆς λέξεως «ἐκκλησία», γιατί καλεῖ ὅλους καί τούς μαζεύει».

42. Μετάφραση.

«Ἄν ἔχεις ἁμαρτίες, νά μήν ἀπελπιστεῖς· αὐτά δέν παύω νά σᾶς τά λέω συνεχῶς· καί ἄν κάθε μέρα ἁμαρτάνεις, νά μετανοεῖς καθημερινά· καί ἐκεῖνο πού κάνουμε στά παλιά σπίτια, ὅταν φθαροῦν, ἀφαιροῦμε δηλαδή τά σαπισμένα μέρη καί ἑτοιμάζουμε καινούρια καί ποτέ δέν ξεχνᾶμε νά τά φροντίζουμε συνέχεια, αὐτό ἄς κάνουμε καί γιά ἐμᾶς. Ἄν παλιώσεις σήμερα ἀπό τήν ἁμαρτία, νά ἀνακαινίσεις τόν ἑαυτό σου μέ τή μετάνοια. Καί εἶναι δυνατό, μπορεῖ νά πεῖ κανείς, νά σωθῶ, ἀφοῦ μετανοήσω; Καί βέβαια εἶναι. Ὅλη τή ζωή μου τήν πέρασα μέσα στίς ἁμαρτίες· καί ἐάν μετανοήσω βρίσκω τή σωτηρία; Πολύ. Ἀπό ποῦ γίνεται αὐτό φανερό; Ἀπό τή φιλανθρωπία τοῦ Κυρίου σου... Γιατί δέ μετριέται ἡ φιλανθρωπία τοῦ Θεοῦ, οὔτε μπορεῖ νά ἑρμηνευτεῖ μέ λόγια ἡ ἀγαθότητά Του... Σκέψου μιά σπίθα πού ἔπεσε μέσα στή θάλασσα· μήπως μπορεῖ νά σταθεῖ ἐκεῖ ἤ νά φανεῖ; Ὅση σχέση ἔχει μιά σπίθα μέ τό πέλαγος, τόση σχέση ἔχει ἡ ἁμαρτία σέ σύγκριση μέ τή φιλανθρωπία τοῦ Θεοῦ· καὶ καλύτερα ὄχι τόση, ἀλλά πιό πολλή. Γιατί τό πέλαγος, ἀκόμη καί ἄν εἶναι μεγάλο, ἔχει ὅριο πού μετριέται· ἐνῶ ἡ φιλανθρωπία τοῦ Θεοῦ εἶναι ἀπεριόριστη».

43. Μετάφραση.

«Εἶναι καλό καί ὠφέλιμο νά κοινωνεῖς καθημερινά καί νά μεταλαβαίνεις τό ἅγιο Σῶμα καί Αἷμα τοῦ Χριστοῦ, γιατί ὁ ἴδιος ὁ Χρι-

---

42. Περικοπή ἀπό τήν 8η ὁμιλία τοῦ Χρυσοστόμου γιά τή μετάνοια (Ἑ.Π. 49, 337).

Πραγματικές παρατηρήσεις: Οἱ λόγοι τῆς περικοπῆς μποροῦν νά παρηγορήσουν καί τό μεγαλύτερο ἁμαρτωλό καί νά τόν ἐνθαρρύνουν πρός μετάνοια.

43. Περικοπή ἀπό τήν 93η ἐπιστολή τοῦ Μ. Βασιλείου «πρός Καισαρίαν πατρικίαν περί κοινωνίας» (Ἑ.Π. 32, 484).

Πραγματικές παρατηρήσεις: «Ὁ τρώγων μου... ζωὴν αἰώνιον»· Ἰωάν στ', 54. Μέ τό μυστήριο τῆς θείας Εὐχαριστίας γινόμαστε κοινωνοί καί συμμέτοχοι τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αἷμα ἔχει ζωὴν αἰώνιον». Τὶς γὰρ ἀμφιβάλλει, ὅτι τὸ μετέχειν συνεχῶς τῆς ζωῆς οὐδὲν ἄλλο ἐστὶν ἢ ζῆν πολλαχῶς; Ἡμεῖς μέντοι γε τέταρτον καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, ἐν τῇ κυριακῇ, ἐν τῇ τετράδι καὶ ἐν τῇ παρασκευῇ καὶ τῷ σαββάτῳ καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνήμη ἁγίου τινός».

44. Η ΧΡΙΣΤΙΑΝΙΚΗ ΑΝΤΙΜΕΤΩΠΙΣΗ ΤΟΥ ΘΑΝΑΤΟΥ (Μεγάλου Βασιλείου).

«Σὺ δὲ ᾠδαῖς τισι πρὸς τὸ κατηφὲς πεποιημέναις παραθρηνεῖς καὶ μέλεσι γοεροῖς ἐκτήκειν σεαυτοῦ τὴν ψυχὴν ἐπιτηδεύεις· καὶ ὥσπερ τῶν τραγῳδῶν ἴδιόν ἐστι τὸ ἀνάπλασμα καὶ ἡ σκευή, μεθ' ἧς τὰ θέατρα καταλαμβάνουσιν· οὕτως οἴει προσήκειν καὶ τῷ πενθοῦντι πρέπον εἶναι σχῆμα, μέλαν ἱμάτιον καὶ αἰχμηρὰν κόμην καὶ σκότος ἐν οἰκίᾳ καὶ ῥύπον καὶ κόνιν καὶ μέλος στυγνόν, ἀεὶ νεαρὸν τῆς λύπης τὸ τραῦμα τῇ ψυχῇ διασῴζον. Κατάλιπε ταῦτα ποιεῖν τοῖς μὴ ἔχουσιν ἐλπίδα. Σὺ δὲ ἐδιδάχθης περὶ τῶν ἐν Χριστῷ κοιμηθέντων, ὅτι «σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν». Τὶ οὖν κλαίεις τὸν ἐξελθόντα μεταμφιάσασθαι;

ζωῆς, τῆς θυσίας καί τῆς ἀναστάσεως τοῦ Χριστοῦ καί ἔχουμε πλέον ἀπό τόν παρόντα βίο ζωή αἰώνια. Ἡ περικοπή συνιστᾶ τή συχνή θεία Κοινωνία, πράγμα πού ἦταν ὁ κανόνας στήν ἀρχαία Ἐκκλησία. Οἱ ἀρχαῖοι χριστιανοί «ἦσαν προσκαρτεροῦντες . . . τῇ κλάσει τοῦ ἄρτου» (Πράξ. β΄, 42). Στούς ἀσθενεῖς πού ἀπουσίαζαν ἀπό τή Θεία Λειτουργία, στελνόταν ἡ Θεία Κοινωνία μέ τούς διακόνους ἢ τίς διακόνισσες. Ὁ Χρυσόστομος ἔλεγχε αὐστηρά ἐκείνους πού ἦταν στή Θεία Λειτουργία καί δέ μεταλάβαιναν: «Εἰπέ μοι, εἴ τις εἰς ἑστίασιν κληθεὶς τὰς χεῖρας νίψαιτο καὶ κατακλιθείη (εἰς τό ἀνάκλιντρον) καὶ ἕτοιμος γένοιτο πρός τὴν τράπεζαν, εἶτα μὴ μετέχοι, οὐχ ὑβρίζει τὸν καλέσαντα;». Δυνατές καί πειστικές εἶναι οἱ ἐκφράσεις τῆς Θ. Λειτουργείας «Προσέλθετε» ἢ «Ὀρθοί μεταλαβόντες...» Θά ἔπρεπε καί σήμερα νά ἐπαναληφθεῖ ἡ παλιά συνήθεια τῆς συχνῆς θ. Κοινωνίας, ἡ ὁποία εἶναι δύναμη καί φάρμακο. Προϋπόθεση βέβαια αὐτῆς εἶναι πάντοτε ὁ φόβος τοῦ Θεοῦ, ἡ πίστη καί ἡ ἀγάπη. Κατά τόν ἀπ. Παῦλο «δοκιμαζέτω δέ ἄνθρωπος ἑαυτόν καί οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γάρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στος σαφῶς μᾶς λέει· «Ὅποιος τρώει τή σάρκα μου καί πίνει τό αἷμα μου ἔχει ζωή αἰώνια». Γιατί ποιός ἀμφιβάλλει, ὅτι τό νά παίρνει κανείς μέρος στή ζωή τοῦ Χριστοῦ δέν εἶναι τίποτα ἄλλο ἀπό τό νά ζεῖ τή ζωή αὐτή μέ πολούς τρόπους; Ἐμεῖς ὅμως βέβαια παίρνουμε τή θεία Κοινωνία τέσσερις φορές κάθε ἑβδομάδα, τήν Κυριακή, τήν Τετάρτη, τήν Παρασκευή καί τό Σάββατο. Κοινωνοῦμε ἀκόμη καί τίς ὑπόλοιπες ἡμέρες τῆς ἑβδομάδας, σέ περίπτωση ὅμως πού ἑορτάζεται ἡ μνήμη κάποιου ἁγίου».

44. Μετάφραση.

«Σύ θρηνεῖς μέ τραγούδια, πού ἔχουν γίνει γιά νά προκαλοῦν μελαγχολία, καί καταγίνεσαι μέ μοιρολόγια γιά νά φθείρεις τελείως τήν ψυχή σου· καί ὅπως ἀκριβῶς χαρακτηριστικό γνώρισμα τῶν ἠθοποιῶν εἶναι ἡ μιμική ἀναπαράσταση καί ἡ χρησιμοποίηση τῶν θεατρικῶν κουστουμιῶν, μέ τά ὁποῖα παρουσιάζονται στή σκηνή τῶν θεάτρων, ἔτσι νομίζεις ὅτι ἐπιβάλλεται καί ἁρμόζει σ' αὐτόν πού πενθεῖ, ἀνάλογη ἐξωτερική εμφάνιση, δηλαδή μαῦρο ἔνδυμα καί ἄλουστα μαλλιά καί σκοτάδι μέσα στό σπίτι καί βρωμιά καί σκόνη καί μοιρολόγι, πού διατηρεῖ στήν ψυχή ἀνοικτό τό τραῦμα τῆς λύπης. Ἄφησε νά κάνουν αὐτά ἐκεῖνοι πού δέν ἔχουν ἐλπίδα. Σύ ὅμως διδάχτηκες γιά ὅσους ἔχουν κοιμηθεῖ (πεθάνει) «ἐν Χριστῷ», ὅτι «σπέρνεται σῶμα φθαρτό, ἀνασταίνεται ἄφθαρτο· σπέρνεται σῶμα ἀσθενικό, ἀνασταίνεται εὔρωστο· σπέρνεται σῶμα πού ἔχει ἁπλῶς ζωή, ἀνασταίνεται σῶμα πνευματικό». Γιατί λοιπόν κλαῖς γι' αὐτόν, πού ἔφυγε ἀπό τή ζωή αὐτή, γιά νά ἀλλάξει (τό παλαιό φθαρτό) ἔνδυμα καί νά φορέσει νέο ἔνδυμα (τῆς ἀφθαρσίας); Οὔτε νά θρηνεῖς γιά τόν ἑαυτό σου, γιατί στερεῖσαι ἕνα βοηθό χρήσιμο στή ζωή, γιατί ἡ Γραφή λέγει, ὅτι εἶναι καλό νά ἐλπίζει κανείς στόν Κύριο παρά νά

σῶμα τοῦ Κυρίου» (Α' Κορ. ια', 28-29). Εἶναι φανερό ὅτι ἡ συχνή Θ. Κοινωνία δεν προυποθέτει πολυήμερη νηστεία.

44. Περικοπή ἀπό τήν ὁμιλία τοῦ Μ. Βασιλείου «Περί εὐχαριστίας» (Ε.Π. 31, 232-233).

Πραγματικές παρατηρήσεις: μέλαν ἔνδυμα· Ἡ χρήση τῶν μαύρων ἐνδυμάτων πρός ἔνδειξη πένθους ἐπί μικρό χρονικό διάστημα εἶναι σωστό γιά λόγους

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μήτε σεαυτὸν θρήνει ὡς βοηθοῦ τινος πρὸς τὸν βίον στερούμενος· ἀγαθὸν γάρ, φησίν, ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον. Μήτε ἐκεῖνον ὀδύρου, ὡς δεινὰ πεπονθότα. Μικρὸν γὰρ ὕστερον ἡ ἐξ οὐρανῶν σάλπιγξ αὐτὸν διυπνίσει καὶ ὄψει αὐτὸν παριστάμενον τῷ βήματι τοῦ Χριστοῦ».

45. Ο ΟΙΚΟΣ ΤΟΥ ΘΕΟΥ ΚΑΙ Ο ΕΚΚΛΗΣΙΑΣΜΟΣ (Ἰωάννου τοῦ Χρυσοστόμου).

«Καθάπερ λιμὴν, πνευμάτων καὶ κυμάτων ἀπηλλαγμένος, πολλὴν τοῖς ὁρμιζομένοις πλοίοις παρέχει τὴν ἀσφάλειαν, οὕτω καὶ ὁ τοῦ Θεοῦ οἶκος, ὥσπερ ἀπό τινος χειμῶνος τῶν ἔξωθεν πραγμάτων τοὺς εἰσιόντας ἐξαρπάζων, μετὰ πολλῆς παρέχει τῆς γαλήνης καὶ τῆς ἀσφαλείας ἑστάναι, καὶ τῶν θείων ἀκροᾶσθαι λογίων. Τοῦτο τὸ χωρίον ὑπόθεσίς ἐστιν ἀρετῆς, διδασκαλεῖον φιλοσοφίας· οὐκ ἐν συνάξει μόνον, ὅτε ἀκρόασις Γραφῶν καὶ διδασκαλία πνευματικὴ καὶ συνέδριον πατέρων αἰδεσίμων, ἀλλὰ καὶ ἐν παντὶ τῷ λοιπῷ καιρῷ. Ἐπίβηθι τῶν προθύρων μόνον, καὶ εὐθέως ἀπέθου τὰς φροντίδας τὰς βιωτικάς. Εἴσελθε τῶν προθύρων εἴσω, καὶ καθάπερ αὔρα τις πνευματικὴ περιίσταταί σου τὴν ψυχήν. Αὕτη ἡ ἡσυχία εἰς φρίκην ἄγει καὶ διδάσκει φιλοσοφεῖν· ἀνίστησι τὸ φρόνημα καὶ οὐκ ἀφίησι μεμνῆσθαι τῶν παρόντων· μεθίστησί σε ἀπὸ γῆς εἰς οὐρανόν. Εἰ δὲ χωρὶς συνάξεως τοσοῦτον κέρδος τῆς ἐνταῦθα παρουσίας, ὅταν Προφῆται πάντοθεν βοῶσιν, ὅταν Ἀπόστολοι εὐαγγελίζωνται, ὅταν ὁ Χριστὸς ἐν μέσῳ ἑστήκῃ, ὅταν ὁ Πατὴρ ἀποδέχηται τὰ γινόμενα, ὅταν Πνεῦμα Ἅγιον παρέχῃ τὴν οἰκείαν ἀγαλλίασιν, πόσης μὲν ὠφελείας ἐμπλησθέντες οἱ παρόντες ἀπέρχονται; Οἱ ἀπόντες δὲ πόσην ζημίαν ὑπομένουσιν; ... Βαλανεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικόν, τῇ θέρμῃ τοῦ Πνεύματος πάντα ἀποσμῆχον ῥύπον· μᾶλλον δὲ οὐχὶ ῥύ-

---

κοινωνικούς. Δέν μπορεῖ ὅμως νά ἐπιβάλλεται γιά πολύ καιρό ἀπό λόγους θρησκευτικούς. **«σπείρεται ἐν φθορᾷ... πνευματικὸν»**· Α΄ Κορ. ιε΄, 42-44. **σῶμα ψυχικόν**· εἶναι τό σῶμα πού ζωοποιεῖται ἀπό τίς κατώτερες ψυχικές ζωϊκές δυνάμεις. **σῶμα πνευματικόν**· εἶναι τό σῶμα πού διαμορφώνεται ἀπό τίς ἀνώτερες πνευματικές δυνάμεις τῆς ψυχῆς, ἡ ὁποία βρίσκεται σέ ζωντανή ἑπαφή μέ τό Πνεῦμα τοῦ Θεοῦ. **ἡ ἐξ οὐρανῶν σάλπιγξ**· Α΄ Θεσ. δ΄, 16· Α΄ Κορ. ιε΄, 52.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐλπίζει σέ ἄνθρωπο. Οὔτε νά κλαῖς αὐτόν, γιατί τάχα ἔχει πάθει φοβερά πράγματα. Γιατί μετά ἀπό λίγο (στή δευτέρα παρουσία) θά τόν ξυπνήσει ἡ σάλπιγγα ἀπό τόν οὐρανό καί θά τόν ἰδεῖς νά παρουσιάζεται μπροστά στό θρόνο τοῦ Χριστοῦ».

45. Μετάφραση.

«Ὅπως ἀκριβῶς ἕνα λιμάνι, πού εἶναι προφυλαγμένο ἀπό τούς ἀνέμους καί τά κύματα, δίνει μεγάλη ἀσφάλεια στά πλοῖα πού ἀγκυροβολοῦν, ἔτσι λοιπόν καί ὁ οἶκος τοῦ Θεοῦ, σώζοντας κατά κάποιο τρόπο ἀπό μιά τρικυμία τῶν κοσμικῶν περιστάσεων ἐκείνους πού καταφεύγουν σ' αὐτήν, τούς δίνει τή δυνατότητα νά στέκονται μέ πολλή γαλήνη καί ἀσφάλεια καί νά ἀκοῦνε τά θεῖα λόγια... Αὐτός ὁ τόπος εἶναι θεμέλιο ἀρετῆς, διδασκαλεῖο φιλοσοφίας· ὄχι μόνο τήν ὥρα τῆς λατρευτικῆς συνάξεως, ὁπότε γίνεται προσεκτική παρακολούθηση τῶν Γραφῶν καί πνευματική διδασκαλία καί συγκέντρωση σεβαστῶν πατέρων, ἀλλά καί σέ ὅλο τόν ὑπόλοιπο χρόνο. Πάτησε μόνο τό πόδι σου στόν πρόναο καί ἀμέσως ξεχνᾶς τίς φροντίδες τῆς καθημερινῆς ζωῆς. Νά μπεῖς μέσα στόν πρόναο, καί τότε κάποια πνευματική αὔρα σοῦ τυλίγει τήν ψυχή. Αὐτή ἡ ἡσυχία μᾶς ὁδηγεῖ στό θρησκευτικό ρίγος καί μᾶς διδάσκει νά φιλοσοφοῦμε· ἀνυψώνει τό φρόνημα καί δέν ἀφήνει νά θυμόμαστε τά παρόντα· σέ μεταθέτει ἀπό τή γῆ στόν οὐρανό. Ἄν λοιπόν χωρίς λατρευτική σύναξη εἶναι τόσο μεγάλο τό κέρδος ἀπό τήν παρουσία σου ἐδῶ στό ναό, ὅταν ὅμως οἱ Προφῆτες ὁμιλοῦν μεγαλόφωνα ἀπό ὅλα τά μέρη, ὅταν οἱ Ἀπόστολοι κυρύσσουν τό Εὐαγγέλιο, ὅταν ὁ Χριστός βρίσκεται στό μέσο, ὅταν ὁ Πατήρ δέχεται ἐκεῖνα πού τελοῦνται, ὅταν τό ἅγιο Πνεῦμα παρέχει τή δική Του πνευματική ἀγαλλίαση, τότε μέ πόση ὠφέλεια γεμάτοι φεύγουν αὐτοί πού εἶναι παρόντες; Ἐκεῖνοι ὅμως πού εἶναι ἀπόντες πόση βλάβη παθαίνουν; Ὅσα ὑπάρχουν καί γίνονται ἐδῶ εἶναι πνευματικό λουτρό, πού μέ τή θερμότητα τοῦ Πνεύματος ἀφαιρεῖ κάθε ρυπαρότητα· ἤ καλύτερα ἡ φωτιά τοῦ Πνεύματος δέν ἀφαιρεῖ μόνο τή ρυπαρότητα, ἀλλά καί τό χρωματισμό. «Για-

---

45. Περικοπή ἀπό τήν ἐπιτίμηση τοῦ Χρυσοστόμου «κατά τῶν ἀπολειφθέντων» καί ἀπό τήν παίνεσή του πρός τούς παρόντας (στό ναό) (Ἑ.Π. 31, 145).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πον ἀποσχῆμον μόνον τὸ τοῦ πνεύματος πῦρ, ἀλλὰ καὶ βαφήν. «Ἐὰν γὰρ ὦσι, φησίν, αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ».

46. Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ (ΙΚΕΤΗΡΙΑ ΔΕΗΣΗ)

(Λειτουργία Μεγάλου Βασιλείου).

«Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησαι· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ. Τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι. Τῶν ἐν βήμασι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πικραῖς δουλείαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ τῶν μισούντων καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν ἢ λήθην ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεός, ὁ εἰδὼς ἕκάστου τὴν ἡλικίαν καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν

Πραγματικές παρατηρήσεις: φιλοσοφίας· φιλοσοφεῖν· έννοεί την αγάπη της κατά Θεόν σοφίας, την οποία τά λειτουργικά μας κείμενα χαρακτηρίζουν ώς «κρείττονα σοφίαν» καί «αμείνονα φιλοσοφίαν». **Προφῆται βοῶσιν... Ἀπόστολοι εὐαγγελίζονται·** έννοεί τά προφητικά, αποστολικά καί ευαγγελικά αναγνώσματα πού ακούγονται στή θεία Λειτουργία. Στην αρχαία Εκκλησία δέν έλειπε καί ή χρήση προφητικών αναγνωσμάτων. **Ὁ Χριστός ἐν μέσῳ·** πρό πάντων μέ τό μυστήριο της θείας Ευχαριστίας. **«ὡς χιόνα λευκανῶ»** Ησ. α' 18· Η λεύκανση αυτή πετυχαίνεται μέ τή μυστηριακή ζωή της Εκκλησίας, στην οποία συμμετέχουν εκείνοι πού εκκλησιάζονται συνειδητά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τί, λέγει ὁ λόγος τοῦ Θεοῦ, ἐάν οἱ ἁμαρτίες σας εἶναι σάν τό κατακόκκινο χρῶμα, θά τίς κάνω λευκές σάν τό χιόνι».

46. Μετάφραση.

«Θυμήσου, Κύριε, τό λαό πού στέκεται ὁλόγυρα, καί ἐκείνους πού δικαιολογημένα ἀπουσίασαν (ἀπό τή Λειτουργία), καί ἐλέησε αὐτούς καί ἐμᾶς σύμφωνα μέ τό πλούσιο ἔλεός Σου. Γέμισε τίς ἀποθῆκες τους μέ κάθε ἀγαθό· διατήρησε τούς συζυγικούς δεσμούς τους μέ εἰρήνη καί ὁμόνοια· ἀνάθρεψε τά νήπια· παιδαγώγησε τή νεότητα· στήριξε τά γηρατειά· παρηγόρησε τούς μικροψύχους (δειλούς)· μάζεψε τούς διασκορπισμένους· ἐπανάφερε τούς πλανημένους καί ἕνωσέ τους μέ τήν Ἁγία Σου Καθολική καί Ἀποστολική Ἐκκλησία. Ἐλευθέρωσε ὅσους μαστίζονται ἀπό ἀκάθαρτα (πονηρά) πνεύματα· συντρόφευσε στό ταξίδι αὐτούς πού ταξιδεύουν στή θάλασσα· συνόδευσε αὐτούς πού ὁδοιποροῦν· προστάτευσε τίς χῆρες· ὑπεράσπισε τά ὀρφανά· ἐλευθέρωσε τούς αἰχμαλώτους· θεράπευσε τούς ἀσθενεῖς. Θυμήσου, Κύριε ὁ Θεός μας, ἐκείνους πού βρίσκονται στά δικαστήρια καί στά καταναγκαστικά ἔργα μέσα στά μεταλλωρυχεῖα καί στίς ἐξορίες καί σέ πικρές δουλεῖες καί σέ κάθε θλίψη καί ἀνάγκη καί δύσκολη περίσταση, καθώς καί ὅλους πού ἔχουν ἀνάγκη ἀπό τή μεγάλη Σου εὐσπλαχνία· καί αὐτούς πού μᾶς ἀγαποῦν, καί ἐκείνους πού μᾶς μισοῦν, καί αὐτούς οἱ ὁποῖοι παράγγειλαν σ' ἐμᾶς τούς ἀναξίους νά προσευχόμαστε γι' αὐτούς. Θυμήσου, Κύριε ὁ Θεός μας, καί ὅλο τό λαό Σου καί νά ἐκχύσεις σέ ὅλους μας τό πλούσιο ἔλεος Σου, παρέχοντας σέ ὅλους τήν ἐκπλήρωση τῶν αἰτημάτων, τά ὁποῖα ἀποβλέπουν στή σωτηρία. Ἐπίσης καί ἐκείνους, τούς ὁποίους δέν ἀναφέραμε, γιατί δέν τούς ξέρουμε ἤ γιατί τούς λησμονήσαμε ἤ γιατί εἶναι πάρα πολλά τά ὀνόματα, θυμήσου τους Σύ, ὁ Θεός, ὁ ὁποῖος γνωρίζεις τήν ἡλικία καί τό ὄνομα καθενός, γνωρίζεις τόν καθένα

---

46. Περικοπή ἀπό τήν ἱκετήρια δέηση τῆς Λειτουργίας πού ἀποδίδεται στό Μ. Βασίλειο. Ἡ δέηση αὐτή γίνεται ἀπό τόν ἱερέα μετά τήν Ἐπίκληση καί τόν Καθαγιασμό τῶν Τιμίων Δώρων.

Πραγματικές παρατηρήσεις: Ἡ ἱκετήρια αὐτή δέηση φανερώνει ὅτι ἡ θ. Λειτουργία δέν ἔχει μόνο οὐράνιο καί μυσταγωγικό χαρακτήρα, ἀλλά ἐνδιαφέρεται

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον καὶ τὴν χρείαν αὐτοῦ. Ρῦσαι, Κύριε, τὴν πόλιν (ἢ τὴν μονὴν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου».

47. ΕΥΧΗ ΤΟΥ ΙΕΡΕΑ ΠΡΟΣ ΤΟΝ ΜΕΤΑΝΟΟΥΝΤΑ ΚΑΙ ΕΞΟΜΟΛΟΓΟΥΜΕΝΟ

«Ὁ Θεός, ὁ συγχωρήσας Δαυΐδ, διὰ Νάθαν τοῦ Προφήτου, τὰ ἴδια ἐξομολογήσαντι ἁμαρτήματα, καὶ Πέτρῳ τὴν ἄρνησιν, κλαύσαντι πικρῶς, καὶ πόρνῃ, δακρυσάσῃ ἐπὶ τοὺς αὐτοῦ πόδας, καὶ τελώνῃ καὶ ἀσώτῳ· αὐτὸς ὁ Θεός, συγχωρήσοι σοι δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ πάντα καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ ἀκατάκριτόν σε παραστήσαι ἐν τῷ φοβερῷ αὐτοῦ Βήματι· περὶ δὲ τῶν ἐξαγορευθέντων ἐγκλημάτων μηδεμίαν φροντίδα ἔχων, πορεύου εἰς εἰρήνην».

48. ΕΥΧΗ ΑΠΟ ΤΗΝ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΥΣΤΗΡΙΟΥ ΤΟΥ ΓΑΜΟΥ

«Ὁ Θεός, ὁ ἅγιος, ὁ πλάσας ἐκ χοὸς τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα καὶ συζεύξας αὐτῷ βοηθὸν κατ' αὐτήν, διὰ τοῦ οὕτως ἀρέσαι τῇ σῇ μεγαλειότητι, μὴ μόνον εἶναι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἅρμοσον τὸν δοῦλόν σου (τόν δε) καὶ τὴν δούλην σου (τήν δε), ὅτι παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνή. Σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ· στεφάνωσον αὐτοὺς ἐν ἀγάπῃ· ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν· χάρισαι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίας ἀπόλαυσιν».

καί γι' αὐτές τίς ὑλικές, βιολογικές, κοινωνικές καί πολιτειακές ἀξίες, ἀντιμετωπίζοντας μέ στοργή ἀκόμη καί τίς ὑλικές ἀνάγκες τοῦ ἀτόμου, τῆς οἰκογένειας, τῆς κοινωνίας καί τῆς πολιτείας.

47. Περικοπή ἀπό τήν ἀκολουθία τῶν ἐξομολογουμένων, πού ὑπενθυμίζει βιβλικά παραδείγματα εἰλικρινοῦς μετανοίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπό τότε πού ἦταν στήν κοιλιά τῆς μητέρας του. Γιατί Σύ, Κύριε, εἶσαι ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπίδα τῶν ἀπελπισμένων, ὁ σωτήρας αὐτῶν πού ἀντιμετωπίζουν τρικυμίες, τό λιμάνι αὐτῶν πού ταξιδεύουν στή θάλασσα, ὁ γιατρός τῶν ἀσθενῶν. Σύ ὁ ἴδιος νά γίνεις τά πάντα γιά ὅλους· Σύ πού γνωρίζεις τόν καθένα καί καθετί πού ζητεῖ, τήν οἰκογένεια καί τίς ἀνάγκες της. Σῶσε, Κύριε, τήν πόλη (ἤ τή μονή) αὐτή καί κάθε πόλη καί χώρα ἀπό πείνα, ἐπιδημία, σεισμό, καταποντισμό, πυρκαϊά, σφαγή, ἐπιδρομή ἀλλοφύλων καί ἐμφύλιο πόλεμο».

47. Μετάφραση.

«Σύ, ὁ Θεός, ὁ ὁποῖος διαμέσου τοῦ Προφήτου Νάθαν συγχώρησες τό Δαβίδ, ὅταν ἐξομολογήθηκε τά ἁμαρτήματά του, καθώς ἐπίσης (συγχώρησες) καί στόν Πέτρο τήν ἄρνηση, ἀφοῦ ἔκλαψε πικρά, καί τήν ἁμαρτωλή, ὅταν δάκρυσε στά πόδια σου, καί τόν τελώνη καί τόν ἄσωτο. Αὐτός ὁ ἴδιος ὁ Θεός εἴθε διαμέσου ἐμένα τοῦ ἁμαρτωλοῦ νά σοῦ τά συγχωρήσει ὅλα, καί στόν κόσμο αὐτό καί στόν ἄλλο, καί εἴθε νά σέ παρουσιάσει ἀθῶο μπροστά στό φοβερό Του Θρόνο. Καί, δίχως νά ἔχεις καμιά ἀνησυχία γιά τά ἁμαρτήματα πού ἐξομολογήθηκες, συνέχισε τό δρόμο σου εἰρηνικά».

48. Μετάφραση.

«Σύ ὁ Θεός, ὁ ἅγιος, πού ἔπλασες ἀπό ὕλη τόν ἄνθρωπο καί ἀπό τήν πλευρά του δημιούργησες τή γυναίκα καί τήν ἕνωσες μαζί του γιά νά τοῦ εἶναι κατάλληλη σύντροφος, γιατί ἔτσι ἦταν ἀρεστό στή μεγαλειότητά Σου, δηλαδή νά μήν εἶναι ὁ ἄνθρωπος μόνος του ἐπάνω στή γῆ· Σύ ὁ ἴδιος καί τώρα, Κύριε, ἅπλωσε τό χέρι Σου ἀπό τό ἅγιο κατοικητήριό Σου καί ἕνωσε τό δοῦλο Σου (τάδε) καί τή δούλη Σου (τάδε), γιατί ἀπό Σένα δένεται σφικτά ἡ γυναίκα μέ τόν ἄνδρα. Συνένωσέ τους μέ ὁμόνοια, στεφάνωσέ τους μέ ἀγάπη· ἕνωσέ τους σέ μιά σάρκα· χάρισέ τους καρπό κοιλίας, δῶσ' τους νά ἀπολαύσουν καλά παιδιά».

---

48. Ἡ εὐχή παρουσιάζει συνοπτικά τούς κυριότερους σκοπούς τοῦ γάμου, πού εἶναι ἡ ἀλληλοσυμπλήρωση τῶν συζύγων καί ἡ τεκνογονία. Ὅλη ἡ περικοπή εἶναι γεμάτη ἀπό βιβλικές ἐκφράσεις (Γεν. β΄, 7, 21, 18· Παροιμ. δ΄, 14· Γεν. β΄, 24· λ΄, 2· Ψαλμ. 131, 11 κ.ἄ.).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

49. ΕΥΧΗ ΑΠΟ ΤΗΝ ΤΕΛΕΤΗ ΤΟΥ ΕΥΧΕΛΑΙΟΥ

«Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δεόμεθά σου, παντοδύναμε, τοῦ σώζειν πάντας ἡμᾶς· ὁ μόνος ψυχῶν τε καὶ σωμάτων ἰατρός, ἁγίασον πάντας ἡμᾶς· ὁ πᾶσαν νόσον ἰώμενος, ἴασαι καὶ τὸν δοῦλον σου (τὸν δε)· ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς διὰ ἐλέους τῆς σῆς χρηστότητος· ἐπίσκεψαι αὐτὸν ἐν ἐλέει καὶ οἰκτιρμοῖς σου· ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν ἀρρωστίαν καὶ ἀσθένειαν· ἵνα, ἐξαναστὰς τῇ χειρί σου τῇ κραταιᾷ, δουλεύῃ σοι μετὰ πάσης εὐχαριστίας».

50. ΝΕΚΡΩΣΙΜΟ ΙΔΙΟΜΕΛΟ (Ἦχος α΄)
(Ἰωάννου τοῦ Δαμασκηνοῦ).

«Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; Ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ροπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται· ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος».

51. Η ΕΟΡΤΗ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ
(Γρηγορίου Ναζιανζηνοῦ).

«Ὁ λαός, ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. «Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά». Τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα πλεονεκτεῖ· αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται ...

---

49. Καί ἡ περικοπή αὐτή ἀπό τήν ἀκολουθία τοῦ εὐχελαίου εἶναι γεμάτη ἀπό βιβλικές ἐκφράσεις (Ἰωαν. ιζ΄, 17· Ψαλμ. 102, 4· Ἐξόδ ιγ΄, 9. Δευτ. θ΄, 26 κ.ἄ.).

50. Τό νεκρώσιμο αὐτό ἰδιόμελο τοῦ Δαμασκηνοῦ μέ τίς ἀλλεπάλληλες ἐρωτήσεις παρουσιάζει παραστατικά τή ματαιότητα τῶν ἐπιγείων καί τήν ἀνάπαυση τῆς ψυχῆς κοντά στό Χριστό.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

49. Μετάφραση.

«Δέσποτα Κύριε, ὁ Θεός μας, Σέ παρακαλοῦμε Παντοδύναμε, νά σώζεις ὅλους ἐμᾶς· Σύ, πού εἶσαι ὁ μοναδικός γιατρός τῶν ψυχῶν καί τῶν σωμάτων, ἅγιασέ μας ὅλους· Σύ, πού θεραπεύεις κάθε ἀσθένεια, θεράπευσε καί τό δοῦλο Σου (τάδε)· μέ τή συμπόνια τῆς καλοκαγαθίας Σου σηκωσέ τον ἀπό τό κρεβάτι τῆς ἀρρώστιας πού τόν βασανίζει· ἐπισκέψου τον μέ τή συμπόνια Σου καί τήν εὐσπλαχνία Σου· διῶξε μακριά του κάθε ἀρρώστια καί ἀδυναμία, γιά νά μπορέσει, ἀφοῦ σηκωθεῖ μέ τή βοήθεια τοῦ δυνατοῦ χεριοῦ Σου, νά Σέ ὑπηρετεῖ μέ ὅλη του τήν εὐγνωμοσύνη».

50. Μετάφραση.

«Ποιά ἀπόλαυση τῆς ζωῆς ὑπάρχει πού νά μή συμμετέχει στή λύπη; Ποιά δόξα πάνω στή γῆ παραμένει μόνιμη; Ὅλα εἶναι πιό ἀδύναμα καί ἀπό τή σκιά, ὅλα πιό ἀπατηλά καί ἀπό τά ὄνειρα· μιά μικρή ἀλλαγή τῶν περιστάσεων, καί ὅλα αὐτά τά διαδέχεται ὁ θάνατος. Ἀλλά μέσα στό φῶς τοῦ προσώπου Σου καί τή γλυκύτητα τῆς ὀμορφιᾶς Σου ἀνάπαυσε, Χριστέ, ὡς φιλάνθρωπος πού εἶσαι, αὐτόν πού διάλεξες».

51. Μετάφραση.

«Ὁ λαός πού ζοῦσε στό σκοτάδι τῆς ἄγνοιας, ἄς δεῖ τό μεγάλο φῶς τῆς ξεκάθαρης γνώσεως. «Πέρασε ἡ παλιά κατάσταση πού δημιουργοῦσε ἡ ἁμαρτία· τώρα νά, ἔχουν γίνει ὅλα καινούρια». Τό γράμμα (ὁ τύπος τοῦ μωσαϊκοῦ νόμου) ὑποχωρεῖ, τό πνεῦμα ὑπερισχύει· οἱ σκιές φεύγουν γρήγορα, ἡ ἀλήθεια φτάνει...

---

51. Περικοπή ἀπό τόν 38ο λόγο Γρηγορίου τοῦ Θεολόγου «εἰς τά Θεοφάνεια, εἴτουν Γενέθλια τοῦ Σωτῆρος» (Ἑ.Π. 36, 312-316).

Ὁ λόγος τοῦτος ἀρχίζει μέ τά περίφημα λόγια, πού χρησιμοποιήθηκαν αὐτούσια καί στό σχετικό ὕμνο: «Χριστός γεννᾶται, δοξάσατε· Χριστός ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστός ἐπί γῆς, ὑψώθητε».

Πραγματικές παρατηρήσεις: ὁ λαός ὁ καθήμενος ἐν σκότει..: Ἠσ. θ΄, 2. **Τά ἀρχαῖα παρῆλθεν... καινά τά πάντα.** Β΄ Κορ. ε΄, 17. **ἐν τῷ Χριστῷ ζήσωμεν... καί**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις, τοῦτο ἑορτάζομεν σήμερον, ἐπιδημίαν Θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς Θεὸν ἐνδημήσωμεν ἢ ἐπανέλθωμεν (οὕτω γὰρ εἰπεῖν οἰκειότερον), ἵνα, τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα· καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν, Χριστῷ καὶ συγγεννώμενοι καὶ συσταυρούμενοι καὶ συνθαπτόμενοι καὶ συνανιστάμενοι ...

Τοιγαροῦν ἑορτάζωμεν μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ Δεσπότου· μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως».

52. Η ΜΕΤΑΜΟΡΦΩΣΗ ΤΟΥ ΚΥΡΙΟΥ
(Ἰωάννου τοῦ Δαμασκηνοῦ).


εὐδοκιμεῖ· καὶ γὰρ θεωρίαν συνέκδημον πρὸς τὰ ἐκεῖθεν ποιούμεθα, καὶ πρᾶξιν θεωρίας ἐπίβασιν· οὐδὲ γὰρ οἷόν τε εἶναι σοφίας μετέχειν μὴ σοφῶς ἀναστραφέντας».

69. ΜΙΜΗΣΗ ΤΗΣ ΘΕΙΑΣ ΦΥΣΕΩΣ
(Γρηγορίου Νύσσης).

«Εἰ τοίνυν τὸ μὲν ὄνομά τις τοῦ Χριστοῦ ὑποδύοιτο, ὅσα δὲ τῷ ὀνόματι τούτῳ συνθεωρεῖται, μὴ δεικνύοι τῷ βίῳ, καταψεύδεται τοῦ ὀνόματος ὁ τοιοῦτος, κατὰ τὸ ὑπόδειγμα, προσωπεῖον ἄψυχον ἀνθρωπίνῳ χαρακτῆρι μεμορφωμένον περιθεὶς τῷ πιθήκῳ. Οὔτε γὰρ τὸν Χριστὸν ἔστι μὴ δικαιοσύνην εἶναι καὶ καθαρότητα, καὶ ἀλήθειαν καὶ κακοῦ παντὸς ἀλλοτρίωσιν, οὔτε χριστιανὸν ἔστιν εἶναι (τόν γε ἀληθῶς χριστιανόν), μὴ κἀκείνων τῶν ὀνομάτων τὴν κοινωνίαν ἐν ἑαυτῷ δεικνύοντα . Οὐκοῦν, ὡς ἄν τις ὅρῳ τοῦ Χριστιανισμοῦ τὴν διάνοιαν ἑρμηνεύσειεν, οὕτως ἐροῦμεν, ὅτι Χριστιανισμός ἐστι τῆς θείας φύσεως μίμησις».

70. ΑΡΜΟΝΙΑ ΛΟΓΩΝ ΚΑΙ ΕΡΓΩΝ ΚΑΙ ΕΜΠΕΙΡΙΑΣ
(Μακαρίου τοῦ Αἰγυπτίου;)

«Ἄλλο ἐστὶ τὸ περὶ ἄρτου διηγήσασθαι καὶ τραπέζης καὶ ἄλλο ἐστὶ φαγεῖν καὶ λαβεῖν τὸν νόστον τοῦ ἄρτου καὶ ἐνδυναμωθῆναι ὅλα τὰ μέλη. Ἄλλο ἐστὶν εἰπεῖν περὶ ποτοῦ ἡδυτάτου λόγοις καὶ ἄλλο ἐστὶν ἀπελθεῖν καὶ δράξασθαι ἐξ αὐτῆς τῆς πηγῆς καὶ ἐμπλησθῆναι αὐτῆς τῆς γεύσεως τοῦ ἡδυτάτου ποτοῦ. Ἄλλο ἐστὶ διηγήσασθαι περὶ πολέμου καὶ γενναίων ἀθλητῶν καὶ πολεμιστῶν καὶ ἄλλο ἐστὶ τὸ ἀπελθεῖν τινα εἰς παράταξιν πολέμου καὶ συμβαλεῖν τοῖς ἐχθροῖς καὶ εἰσελθεῖν καὶ ἐξελθεῖν καὶ λαβεῖν καὶ δοῦναι καὶ ἀπενέγκασθαι τὰ νικητήρια. Οὕτω κἂν τοῖς πνευματικοῖς. Ἄλλο ἐστὶ τὸ γνώσει τινὶ καὶ νοῖ διηγῆσαι λόγους καὶ ἄλλο ἐστὶ τὸ ἐν ὑποστάσει καὶ ἔργῳ καὶ ἐν

---

69. Περικοπή από τό ἔργο τοῦ Γρηγορίου Νύσσης «Τί τῶν Χριστιανῶν ὄνομα ἢ ἐπάγγελμα» (Ἑ.Π. 46, 244).

Πραγματικές παρατηρήσεις: Ἡ περικοπή τονίζει ὅτι ἡ ζωή μας πρέπει νά δικαιώνει τό ὄνομά μας ὡς Χριστιανῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ται πέρα ἀπό τήν παρουσα ζωή, καί τήν πράξη κάνουμε βάθρο τῆς θεωρίας, ἐφόσον δέν εἶναι δυνατό νά ἀποκτήσουν σοφία ὅσοι δέν ἔζησαν μέ σοφία».

69. Μετάφραση.

«Ἄν λοιπόν κανείς παρουσιάζεται νά φορεῖ σάν προσωπεῖο τό ὄνομα τοῦ Χριστοῦ, ἀλλά δέ δείχνει στή ζωή του ὅσα ἔχουν σχέση μέ τό ὄνομα τοῦτο, δημιουργεῖ ψεύτικη ἐντύπωση γιά τό ὄνομα τοῦ Χριστοῦ, γιατί, σύμφωνα μέ τό παράδειγμα, φόρεσε κατά κάποιο τρόπο στόν πίθηκο του μιά μάσκα, πού παριστάνει ἀνθρώπινη μορφή. Καί αὐτό συμβαίνει, ἐπειδή ὁ Χριστός δέν ὑπάρχει περίπτωση νά μήν ἐνσαρκώνει τή δικαιοσύνη, τήν ἠθική καθαρότητα, τήν ἀλήθεια καί τήν ἀποξένωση ἀπό κάθε κακία· οὔτε εἶναι δυνατό ὁ χριστιανός (ὁ ἀληθινός βέβαια χριστιανός) νά μήν παρουσίζει τόν ἑαυτό του νά συμμετέχει ἔμπρακτα στίς ἀρετές αὐτές. Λοιπόν, ἄν θά μποροῦσε κάποιος νά παρουσιάσει μέ ὁρισμό τό νόημα τοῦ Χριστιανισμοῦ, θά ποῦμε ὅτι Χριστιανισμός εἶναι ἡ μίμηση τῆς θείας φύσεως».

70. Μετάφραση.

«Ἄλλο εἶναι νά μιλήσει κανείς γιά τό ψωμί καί τό τραπέζι, καί ἄλλο εἶναι νά φάει καί νά γνωρίσει τή νοστιμάδα τοῦ ψωμιοῦ καί νά ἐνισχυθοῦν ὅλα τά μέλη τοῦ σώματός του. Ἄλλο εἶναι νά εἰπεῖ κανείς κάτι μέ λόγια γιά ἕνα παρά πολύ γλυκό ποτό, καί ἄλλο εἶναι νά βγεῖ νά τό πάρει ἀπό τήν ἴδια τήν πηγή του καί νά χορτάσει μέ τή γεύση τοῦ γλυκύτατου αὐτοῦ ποτοῦ. Ἄλλο εἶναι νά μιλήσει κανείς γιά πόλεμο καί γιά γενναίους ἀθλητές καί πολεμιστές, καί ἄλλο εἶναι νά πάει στό πεδίο τῆς μάχης καί νά συμπλακεῖ μέ τούς ἐχθρούς, καί νά μπεῖ καί νά βγεῖ, καί νά λάβει καὶ νά δώσει, καί νά φέρει ὁ ἴδιος στόν ἑαυτό του τά βραβεῖα τῆς νίκης. Κάτι παρόμοιο συμβαίνει καί στά

---

70. Περικοπή ἀπό τήν 27η ὁμιλία, ἡ ὁποία ἀποδίδεται στό Μακάριο τόν Αἰγύπτιο (Ἑ.Π. 34, 701).

Πραγματικές παρατηρήσεις: Γιά τήν «ἐν Χριστῷ» ζωή δέν εἶναι ἀρκετά τά λόγια· ἀπαιτοῦνται καί ἔργα καί ἄμεσα βιώματα μέσω προσωπικῆς ἐμπειρίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πληροφορίᾳ καὶ ἐν τῷ ἔνδον ἀνθρώπῳ καὶ τῷ νῷ ἔχειν τὸν θησαυρὸν καὶ τὴν χάριν καὶ τὴν γεῦσιν καὶ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος».

71. Η ΟΥΡΑΝΙΑ ΕΙΚΟΝΑ ΕΚΕΙΝΟΥ ΠΟΥ ΑΤΕΝΙΖΕΙ ΠΡΟΣ ΤΟ ΧΡΙΣΤΟ (Μακαρίου τοῦ Αἰγυπτίου;)

«Ὥσπερ γὰρ ὁ εἰκονογράφος προσέχει τῷ προσώπῳ τοῦ βασιλέως καὶ γράφει· καὶ ἐπὰν ἐξ ἐναντίας ᾖ τὸ πρόσωπον τοῦ βασιλέως προσέχον αὐτῷ γράφοντι, εὐκόλως καὶ καλῶς ἐκεῖνος ζωγραφεῖ τὴν εἰκόνα· ἐπὰν δὲ ἀποστρέψῃ τὸ πρόσωπον, οὐ δύναται γράψαι, διὰ τὸ μὴ ἀτενίζειν αὐτῷ τῷ γράφοντι· τὸν αὐτὸν τρόπον καὶ ὁ καλὸς ζωγράφος Χριστὸς τοῖς πιστεύουσιν αὐτῷ καὶ ἀτενίζουσιν διὰ παντὸς πρὸς αὐτὸν εὐθέως ζωγραφεῖ κατὰ τὴν εἰκόνα αὐτοῦ ἐπουράνιον ἄνθρωπον... Εἴ τις οὖν οὐκ ἀτενίζει διὰ παντὸς πρὸς αὐτὸν τῶν πάντων ὑπεριδών, οὐ μὴ γράψῃ ὁ Κύριος αὐτοῦ τὴν εἰκόνα ἐκ τοῦ ἑαυτοῦ φωτός. Χρὴ τοίνυν ἀτενίζειν ἡμᾶς εἰς αὐτὸν πιστεύοντας καὶ ἀγαπῶντας αὐτόν, πάντα ῥίψαντας καὶ αὐτῷ προσέχοντας, ἵνα γράψας τὴν ἑαυτοῦ εἰκόνα τὴν ἐπουράνιον ἀποστείλῃ ἐν ταῖς ψυχαῖς ἡμῶν...

Ὥσπερ τὸ νόμισμα τοῦ χρυσίου, ἐὰν μὴ λάβῃ καὶ ἐντυπωθῇ τὴν βασιλικὴν εἰκόνα, οὔτε εἰς ἐμπορίαν ἀπέρχεται, οὔτε εἰς βασιλέως θησαυροὺς ἀποτίθεται, οὕτω καὶ ἡ ψυχή, ἐὰν μὴ ἔχῃ εἰκόνα τοῦ ἐπουρανίου Πνεύματος ἐν φωτὶ ἀρρήτῳ, Χριστὸν ἐντετυπωμένον ἐν αὐτῇ, οὐ χρησιμεύει εἰς τοὺς ἄνω θησαυροὺς καὶ ὑπὸ τῶν ἐμπόρων τῆς βασιλείας τῶν καλῶν ἀποστόλων ἀπόβλητος γίνεται».

72. Η ΣΥΝΕΙΔΗΣΗ ΩΣ ΠΑΡΑΓΟΝΤΑΣ ΤΟΥ ΗΘΙΚΟΥ ΒΙΟΥ (Ἰωάννου τοῦ Χρυσοστόμου).

«Τίνος δὲ ἕνεκεν ὅλως ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ κριτὴν οὕτω

---

71. Περικοπή από τήν 30ή ὁμιλία, ἡ ὁποία ἀποδίδεται στό Μακάριο τόν Αἰγύπτιο (Ἑ.Π. 34, 724).

Πραγματικές παρατηρήσεις: Ἡ περικοπή τονίζει ὅτι ἡ ζωή τοῦ χριστιανοῦ πρέπει μέ τήν προσήλωση τῆς ψυχῆς στό Χριστό νά γίνει ἕνα πνευματικό καλλιτέχνημα, τό ὁποῖο θά κατασκευάσει ὁ ἴδιος ὁ Κύριος καί μέσα στό ὁποῖο θά εἶναι ἀποτυπωμένη ἡ μορφή τοῦ Χριστοῦ καί ἡ μορφή τοῦ ἀνθρώπου πού Τόν ἀτενίζει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πνευματικά ζητήματα. Ἄλλο εἶναι νά ἐξηγεῖ κανείς τούς θείους λόγους μέ κάποια γνώση καί μέ τή λογική, καί ἄλλο εἶναι νά κατέχει τό θησαυρό, τή χάρη, τήν αἴσθηση, καί τήν ἐνέργεια τοῦ ἁγίου Πνεύματος πραγματικά καί ἔμπρακτα καί μέ τέλεια βεβαιότητα στήν ψυχή του καί στό νοῦ».

71. Μετάφραση.

«Ὅπως ἀκριβῶς αὐτός πού κάνει προσωπογραφίες, ἔχει στραμμένη τήν προσοχή του στό πρόσωπο τοῦ βασιλιᾶ καί ζωγραφίζει· καί ὅταν ἀπό ἀπέναντι τό πρόσωπο τοῦ βασιλιᾶ εἶναι στραμμένο πρός τό ζωγράφο πού τό ζωγραφίζει, τότε αὐτός ζωγραφίζει τό ὁμοίωμα τοῦ βασιλιᾶ εὔκολα καί ὡραῖα· ὅταν ὅμως ὁ βασιλιάς στρέψει τό πρόσωπό τους σέ ἄλλη κατεύθυνση, δέν μπορεῖ ὁ ζωγράφος νά τό ζωγραφίσει, ἐπειδή ὁ βασιλιάς δέν προσηλώνει τά μάτια του σ' αὐτόν. Κατά τόν ἴδιο τρόπο καί ὁ καλός ζωγράφος Χριστός ἀμέσως ζωγραφίζει ἐπουράνιο ἄνθρωπο, σύμφωνα μέ τό ὁμοίωμά Του, σ' ἐκείνους πού Τόν πιστεύουν καί ἀτενίζουν συνεχῶς πρός Αὐτόν.... Ἄν λοιπόν κάποιος ἀδιαφορεῖ γιά ὅλα, καί ἑπομένως δέν ἔχει συνεχῶς προσηλωμένο τό βλέμμα του πρός τό Χριστό, τότε ὁ Κύριος δέ θά ζωγραφίσει τήν εἰκόνα αὐτοῦ τοῦ ἀνθρώπου μέ τό θεῖο Του φῶς. Πρέπει λοιπόν, ἀποβάλλοντας κάθε κακία καί προσέχοντας στό Χριστό, νά ἀτενίζουμε πρός Αὐτόν μέ πίστη καί ἀγάπη, γιά νά ζωγραφίσει καί ἀποστείλει στίς ψυχές μας τή δική Του εἰκόνα, τήν ἐπουράνια.

Ὅπως ἀκριβῶς τό χρυσό νόμισμα, ἄν δέν ἔχει χαραγμένο ἐπάνω του τό ὁμοίωμα τοῦ βασιλιᾶ, δέν κυκλοφορεῖ στό ἐμπόριο οὔτε τοποθετεῖται στά θησαυροφυλάκια τοῦ βασιλιᾶ, ἔτσι καί ἡ ψυχή, ἄν δέν ἔχει τήν εἰκόνα τοῦ ἐπουράνιου Πνεύματος μέσα σέ ἀνέκφραστο φῶς, δηλαδή τό Χριστό χαραγμένο σ' αὐτήν, δέν εἶναι κατάλληλη γιά χρήση στά οὐράνια θησαυροφυλάκια καί ἀπορρίπτεται ἀπό τούς ἐμπόρους τῆς βασιλείας τῶν καλῶν ἀποστόλων».

72. Μετάφραση.

«Ἀλλά γιά ποιό λόγο ὁ Θεός ἔβαλε τέλεια μέσα στή διάνοιά μας ἕναν κριτή τόσο πολύ ἄγρυπνο καί μέ πνευματική διαύγεια: Μιλῶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διηνεκῶς ἐγρηγορότα καὶ νήφοντα κατέστησεν ἡμῖν ὁ Θεός; Τὸ συνειδὸς λέγω. Οὐ γὰρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς δικαστὴς οὕτως ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον συνειδός. Οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ καὶ ὑπὸ χρημάτων διαφθείρονται καὶ κολακείαις χαυνοῦνται καὶ διὰ φόβον καθυποκρίνονται· καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὴν ὀρθὴν ἐκείνων ψῆφον· τὸ δὲ τοῦ συνειδότος δικαστήριον οὐδενὶ τούτων εἴκειν οἶδεν· ἀλλὰ κἂν χρήματα δῷς, κἂν κολακεύσῃς, κἂν ἀπειλήσῃς, κἂν ἕτερον ὁτιοῦν ἐργάσῃ, δικαίαν ἐξοίσει τὴν ψῆφον κατὰ τῶν ἡμαρτηκότων λογισμῶν· καὶ αὐτὸς ὁ τὴν ἁμαρτίαν ἐργασάμενος αὐτὸς ἑαυτὸν καταδικάζει, κἂν μηδεὶς ἕτερος κατηγορῇ. Καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις καὶ διὰ παντὸς τοῦ βίου τοῦτο ποιῶν διατελεῖ· κἂν πολὺς παρέλθῃ χρόνος, οὐδέποτε ἐπιλήσεται τῶν γεγενημένων, ἀλλὰ καὶ ἐν τῷ γίνεσθαι τὴν ἁμαρτίαν καὶ πρὶν γενέσθαι καὶ μετὰ τὸ γενέσθαι σφοδρὸς ἐφέστηκεν ἡμῖν κατήγορος, καὶ μάλιστα μετὰ τὸ γενέσθαι. Ἐν μὲν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν ὑπὸ τῆς ἡδονῆς μεθύοντες οὐχ οὕτως αἰσθανόμεθα· ἐπειδὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα, τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς μετανοίας ἐπεισέρχεται κέντρον».

73. ΑΠΟΦΥΓΗ ΤΗΣ ΑΠΟΓΝΩΣΕΩΣ
(Ἰωάννου τοῦ Χρυσοστόμου).

«Οὐ δεινόν, τὸ παλαίοντα πεσεῖν, ἀλλὰ τὸ μεῖναι ἐν τῷ πτώματι· οὐδὲ χαλεπόν, τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι καὶ ἀμελῆσαι τοῦ τραύματος. Οὐδεὶς ἔμπορος, ἅπαξ ναυαγίῳ περιπεσὼν καὶ τὸν φόρτον ἀπολέσας, ἀπέστη τοῦ πλεῖν, ἀλλὰ πάλιν τὴν θάλασσαν καὶ τὰ κύματα καὶ τὰ μακρὰ διαβαίνει πελάγη καὶ τὸν πρότερον ἀνακτᾶται πλοῦτον. Καὶ ἀθλητὰς δὲ ὁρῶμεν μετὰ

---

72. Περικοπή ἀπό τόν 4ο λόγο τοῦ Χρυσοστόμου στόν πλούσιο καί τό Λάζαρο (Ἑ.Π. 48, 1011-1012).

Πραγματικές παρατηρήσεις: Μέ ζωντανά παραδείγματα ὁ Χρυσόστομος περιγράφει τή συνείδηση. **ἐν τῷ γίγνεσθαι... μετά τό γενέσθαι...**· Ὑποδηλώνεται ἡ παρουσία τῆς συνειδήσεως σέ τρεῖς φάσεις: 1) τότε πού γίνεται ἡ πράξη, 2) πρίν ἀπό τήν πράξη (προτρεπτική ἤ ἀποτρεπτική) καί 3) μετά ἀπό τήν πράξη (ἐπιδοκιμαστική ἤ ἀποδοκιμαστική).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γιά τή συνείδηση. Πράγματι, δέν ὑπάρχει, δέν ὑπάρχει, λέγω, ἀνάμεσα στούς ἀνθρώπους κανένας δικαστής τόσο ἄγρυπνος, ὅσο ἡ συνείδησή μας. Γιατί οἱ εἰδωλολάτρες δικαστές καί διαφθείρονται ἀπό τά χρήματα καί ἐξαπατοῦνται μέ τίς κολακεῖες καί ὑποκρίνονται ἐξαιτίας τοῦ φόβου· καί πολλά ἄλλα ὑπάρχουν, πού καταστρέφουν τήν ὀρθή ἀπόφασή τους. Τό δικαστήριο ὅμως τῆς συνειδήσεως δέ γνωρίζει νά ὑποχωρεῖ σέ τίποτε ἀπό αὐτά. Ἀλλά, καί ἄν δώσεις χρήματα καί ἄν κολακέψεις καί ἄν ἀπειλήσεις καί ἄν κάμεις ὁτιδήποτε ἄλλο, θά βγάλει δίκαιη τήν ἀπόφαση ἐναντίον τῶν ἁμαρτωλῶν σκέψεων· καί αὐτός πού ἔκαμε τήν ἁμαρτία, καταδικάζει ὁ ἴδιος τόν ἑαυτό του, κι ἄς μήν τόν κατηγορεῖ κανείς ἄλλος. Καί ὄχι μία ἤ δύο φορές, ἀλλά πολλές φορές καί σέ ὅλη του τή ζωή κάνει τό ἴδιο. Καί ἄν περάσει πολύς χρόνος, ἡ συνείδηση ποτέ δέ θά λησμονήσει αὐτά πού ἔχουν γίνει· ἀλλά καί ὅταν γίνεται ἡ ἁμαρτία καί πρίν γίνει καί ἀφοῦ γίνει, στέκεται ἀπέναντί μας σάν αὐστηρός κατήγορος, καί μάλιστα μετά τή διάπραξη τῆς ἁμαρτίας. Γιατί τότε πού κάνουμε τήν ἁμαρτία, ἐπειδή εἴμαστε μεθυσμένοι ἀπό τήν ἡδονή, δέν αἰσθανόμαστε τόσο πολύ τή φωνή της· ὅταν ὅμως γίνει ἡ ἁμαρτία καί τελειώσει, τότε λοιπόν, ἀφοῦ σβήσει ὅλη ἡ ἡδονή, εἰσορμᾶ τό πικρό κεντρί τῆς μεταμέλειας».

73. Μετάφραση.

«Δέν εἶναι φοβερό νά πέσει κανείς κάτω στό ἀγώνισμα τῆς πάλης· φοβερό εἶναι νά μείνει πεσμένος. Οὔτε εἶναι συμφορά νά τραυματιστεῖ κανείς στή μάχη· συμφορά εἶναι νά ἀπελπιστεῖ μετά τόν τραυματισμό καί νά ἀφήσει ἀπεριποίητο τό τραῦμα του. Ποιός ἔμπορος, ὕστερα ἀπό τό πρῶτο του ναυάγιο κι ἀφοῦ ἔχασε τό φορτίο του, σταμάτησε τά θαλασσινά ταξίδια; Ἀντίθετα, πάλι διασχίζει τή θάλασσα καί τά κύματα καί τά πέλαγα, καί ἔτσι ἀποκτᾶ τόν πλοῦτο πού ἔχασε. Ἐπίσης βλέπουμε καί παλαιστές νά φοροῦν τό στεφάνι τῆς νίκης ὕστερα ἀπό πολλές πτώσεις· ἀκόμη καί στρατιώτης πού τράπηκε σέ φυγή πολλές φορές, τελικά ἀναδείχτηκε ἄριστος καί νίκησε

---

73. Περικοπή ἀπό τό 2ο παραινετικό λόγο τοῦ Χρυσοστόμου «πρός Θεόδωρον ἐκπεσόντα» (Ἑ.Π. 47, 309).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλὰ πτώματα στεφανίτας γενομένους· ἤδη δὲ καὶ στρατιώτης πολλάκις φυγών, ἔσχατον ἀριστεὺς ἀπεδείχθη καὶ τῶν πολεμίων ἐπεκράτησε. Πολλοὶ δὲ καὶ τῶν τὸν Χριστὸν ἀρνησαμένων, διὰ τὴν τῶν βασάνων ἀνάγκην ἀνεμαχέσαντο πάλιν καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀπῆλθον ἀνδαδησάμενοι. Εἰ δὲ τούτων ἕκαστος ἐκ τῆς προτέρας πληγῆς ἀπέγνω, οὐκ ἂν τῶν δευτέρων ἀπήλαυσεν ἀγαθῶν».

74. Η ΗΘΙΚΗ ΠΡΟΟΔΟΣ ΚΑΙ ΤΕΛΕΙΩΣΗ ΠΟΥ ΠΡΑΓΜΑΤΟΠΟΙΕΙΤΑΙ ΜΕ ΤΟΝ ΑΓΩΝΑ

(Γρηγορίου Νύσσης)

«Οὐκ ἂν δὲ γένοιτο νομίμως ἄθλησις, μὴ ὄντος τοῦ προσπαλαίοντος. Εἰ οὖν μὴ ἦν ὁ ἀντίπαλος, οὐδ' ἂν ὁ στέφανος ἦν· ἡ νίκη γὰρ καθ' ἑαυτὴν οὐκ ἔστιν, ἐὰν μὴ ᾖ τὸ ἡττώμενον. Οὐκοῦν πρὸς αὐτὸ τὸ τρεπτὸν τῆς φύσεως ἡμῶν ἀγωνισώμεθα, οἷόν τινι ἀντιπάλῳ διὰ τῶν λογισμῶν συμπλεκόμενοι, οὐ διὰ τοῦ καταβαλεῖν αὐτὴν νικηταὶ γινόμενοι, ἀλλὰ διὰ τοῦ μὴ συγχωρῆσαι πεσεῖν. Οὐδὲ γὰρ μόνον πρὸς τὸ κακὸν ὁ ἄνθρωπος τῇ τροπῇ χρῆται· ἢ γὰρ ἂν ἀμήχανον ἦν αὐτὸν ἐν ἀγαθῷ γενέσθαι, εἰ πρὸς τὸ ἐναντίον μόνον τὴν ροπὴν εἶχεν ἐκ φύσεως. Νυνὶ δὲ τὸ κάλλιστον τῆς τροπῆς ἔργον ἡ ἐν τοῖς ἀγαθοῖς ἐστιν αὔξησις πάντοτε τῆς πρὸς τὸ κρεῖττον ἀλλοιώσεως ἐπὶ τὸ θειότερον μεταποιούσης τὸ καλῶς ἀλλοιούμενον. Οὐκοῦν τὸ φοβερὸν εἶναι δοκοῦν, λέγω δὲ τὸ τρεπτὴν ἡμῶν εἶναι τὴν φύσιν, οἷόν τι πτερὸν πρὸς τὴν ἐπὶ τὰ μείζω πτῆσιν ὁ λόγος ὑπέδειξεν, ὡς ζημίαν εἶναι ἡμῖν τὸ μὴ δύνασθαι τὴν πρὸς τὸ κρεῖττον ἀλλοίωσιν δέξασθαι. Μὴ τοίνυν λυπείσθω ὁ βλέπων ἐν τῇ φύσει τὸ πρὸς τὴν μεταβολὴν ἐπιτήδειον, ἀλλὰ πρὸς τὸ κρεῖττον πάντως ἀλλοιούμενος καὶ ἀπὸ δόξης εἰς δόξαν μεταμορφούμενος, οὕτω τρεπέσθω, διὰ τῆς καθ' ἡμέραν αὐξήσεως πάντοτε κρείττων γινόμενος καὶ ἀεὶ τελειούμενος καὶ μηδέποτε πρὸς

---

74. Περικοπή από τό ἔργο τοῦ Γρηγορίου Νύσσης «περὶ τελειότητος καὶ ὁποῖον χρὴ εἶναι τὸν Χριστιανόν» (Ἑ.Π. 46, 285).

Πραγματικές παρατηρήσεις: νομίμως ἄθλησις· πρβλ. Β΄ Τιμ. β΄, 5. **από δόξης εἰς δόξαν μεταμορφούμενος**· Β΄ Κορ. γ΄, 18. Μέ ἐπιγραμματικές ἐκφράσεις ὁ Γρηγόριος Νύσσης λέγει ποιά εἶναι ἡ τελειότητα. Δέν εἶναι ἄφιξη στό τέρμα ἡ τελειότητα, ἀλλά συνεχής δυναμική κατεύθυνση πρός τό ὑψηλότερο, τό ἀξιολο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τούς ἐχθρούς. Καί ἀπό ἐκείνους πού ἀρνήθηκαν τό Χριστό ἐξαιτίας τῶν βασανιστηρίων, πολλοί ἔδωσαν νέα μάχη γιά τήν πίστη τους, κι ἔτσι ἔφυγαν ἀπό τήν παρούσα ζωή στεφανωμένοι μέ τό στεφάνι τοῦ μαρτυρίου. Ἄν λοιπόν καθένας ἀπ' αὐτούς ἀπελπιζόταν ἐξαιτίας τῆς συμφορᾶς πού τόν εἶχε βρεῖ, δέ θά μποροῦσε ν' ἀπολαύσει τά ἀγαθά πού ἦρθαν ὕστερα ἀπό τή νέα προσπάθεια».

74. Μετάφραση.

«Δέ θά μποροῦσε νά γίνει ἀθλητικός ἀγώνας μέ τόν τρόπο πού ὁρίζουν οἱ ἀθλητικοί κανόνες, ἄν δέν ὑπάρχει ἀνταγωνιστής. Ἄν λοιπόν δέν ὑπάρχει ἀντίπαλος, δέ θά ὑπάρχει οὔτε τό στεφάνι τῆς νίκης· γιατί νίκη στήν πραγματικότητα δέν ὑπάρχει, ἄν δέν ὑπάρχει ἐκεῖνο πού νικιέται. Λοιπόν ἄς ἀγωνιστοῦμε ἐναντίον τῆς ἴδιας τῆς φύσεώς μας πού εἶναι ἀλλοπρόσαλλη, παλεύοντας νοερά μαζύ της, ὅπως κατά κάποιο τρόπο μ' ἕναν ἀντίπαλο, χωρίς νά γινόμαστε νικητές ρίχνοντάς την κάτω, ἀλλά φυλάγοντάς την νά μήν πέσει. Γιατί ὁ ἄνθρωπος δέ χρησιμοποιεῖ μόνο πρός τό κακό τή μεταβολή πού παρουσιάζει ἡ φύση του. Πράγματι, δέ θά μποροῦσε νά φτάσει στό ἀγαθό, ἄν εἶχε ἐκ φύσεως μόνο τήν τάση πρός τό κακό. Τώρα δά ὅμως τό ὡραιότατο ἔργο τῆς μεταβολῆς εἶναι ἡ αὔξηση στά ἀγαθά, ἔτσι ὥστε πάντοτε ἡ μεταβολή πρός τό καλύτερο νά μεταβάλλει ἐκεῖνο πού σωστά παθαίνει τή μεταβολή, σέ κατάσταση πού βρίσκεται πλησιέστερα πρὸς τὸ Θεό. Λοιπὸν αὐτὸ ποὺ μᾶς φαίνεται ὅτι εἶναι φοβερό, δηλαδή τό ὅτι ἡ φύση μας εἶναι μεταβλητή, τοῦτο ὁ θεῖος λόγος ὑπέδειξε σάν κάποιο φτερό γιά τό πέταγμα πρός τά σπουδαιότερα, ὥστε νά εἶναι ζημιά τό νά μήν μποροῦμε νά δεχτοῦμε τή μεταβολή πρός τό καλύτερο. Ἑπομένως ἄς μή λυπᾶται ὅποιος βλέπει μέσα στή φύση του τή δυνατότητα γιά μεταβολή, ἀλλά, ἀφοῦ μεταβάλλεται σέ κάθε περίπτωση πρός τό καλύτερο καί μεταμορφώνεται προοδευτικά ἀπό μία δόξα σέ ἄλλη δόξα, ἀνώτερη, ἄς μεταβάλλεται κατά τέτοιο τρόπο, δηλαδή νά γίνεται μέ καθημερινή προοδευτική ἀνάπτυξη συνεχῶς καλύτερος, νά τελειοποιεῖται πάντοτε

γότερο, τό ἀνώτερο, τό καλύτερο, τό τελειότερο. Σύμφωνα μέ σχετικές ἐκφράσεις τῶν μεγάλων Πατέρων, ἠθική πρόοδος καί τελείωση εἶναι ἡ «καλλίστη ἀλλοίωσις» «ἐπί τό βέλτιον», τό «ἐκ χειρόνων εἰς κρείττονα προκόπτειν».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ πέρας φθάνων τῆς τελειότητος. Αὐτίκα γὰρ ἐστιν ὡς ἀληθῶς τελειότης τὸ μηδέποτε στῆναι πρὸς τὸ κρεῖττον αὐξανόμενον, μηδέ τινι πέρατι περιορίσαι τὴν τελειότητα».

75. Η ΠΙΣΤΗ ΠΡΟΣ ΤΟ ΘΕΟ
(Μεγάλου Βασιλείου).

«Ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἐκ μὲν τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν ἡμῶν, τῇ δὲ οὐσίᾳ αὐτῇ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος... Ἐγὼ δέ, ὅτι μὲν ἔστιν, οἶδα· τί δὲ ἡ οὐσία, ὑπὲρ διάνοιαν τίθεμαι. Πῶς οὖν σώζομαι; Διὰ τῆς πίστεως. Πίστις δὲ αὐτάρκης εἰδέναι, ὅτι ἔστι Θεός, οὐχὶ τί ἐστι· καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Εἴδησις ἄρα τῆς θείας οὐσίας ἡ αἴσθησις αὐτοῦ τῆς ἀκαταληψίας· καὶ σεπτὸν οὐ τὸ καταληφθὲν τὶς ἡ οὐσία, ἀλλ' ὅτι ἔστιν ἡ οὐσία».

76. Η ΕΛΠΙΔΑ ΣΤΟ ΘΕΟ
(Ἰωάννου τοῦ Χρυσοστόμου).

«Μεγάλη τῆς ἐπὶ τὸν Κύριον ἐλπίδος ἡ δύναμις, φρούριον ἀχείρωτον, τεῖχος ἄμαχον, συμμαχία ἀκαταγώνιστος, λιμὴν εὔδιος, πύργος ἀκαταμάχητος, ὅπλον ἀήττητον, δύναμις ἄμαχος καὶ ἐκ τῶν ἀπόρων εὑρίσκουσα πόρον. Διὰ ταύτης ἄοπλοι τῶν ὡπλισμένων καὶ γυναῖκες ἀνδρῶν περιεγένοντο καὶ παῖδες τῶν τὰ πολεμικὰ μεμελετηκότων ἰσχυρότεροι μετὰ πολλῆς τῆς εὐκολίας ἀνεφάνησαν. Καὶ τὶ θαυμαστὸν εἰ πολεμίων ἐκράτησαν, ὅπου γε καὶ αὐτοῦ τοῦ κόσμου περιεγένοντο;.. Ἡ γὰρ εἰς τὸν Θεὸν ἐλπὶς πάντα μεταρρυθμίζει».

---

75. Περικοπή από τήν 234η επιστολή τοῦ Μ. Βασιλείου πρός τόν Ἀμφιλόχιο (Ἑ.Π. 32, 869).

76. Περικοπή από τήν ερμηνεία τοῦ Χρυσοστόμου στό 10ο ψαλμό (Ἑ.Π. 55, 140).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καί ποτέ νά μή φτάνει στό τέρμα τῆς τελειότητας. Γιατί βέβαια ἡ ἀληθινή τελειότητα εἶναι νά μή σταματήσει ποτέ κανείς νά προχωρεῖ προοδευτικά πρός τό καλύτερο οὔτε νά περιορίσει τήν τελειότητα μέ κάποιο τέρμα».

75. Μετάφραση.

«Οἱ ἐνέργειες ὅμως τοῦ Θεοῦ εἶναι ποικίλες· μόνο ἡ οὐσία Του εἶναι ἁπλή. Ἐμεῖς λέμε ὅτι τό Θεό Τόν γνωρίζουμε ἀπό τίς ἐνέργειές Του· δέ διαβεβαιώνουμε ὅτι προσεγγίζουμε τήν οὐσία Του μέ τή δύναμη τοῦ νοῦ μας. Καί τοῦτο γίνεται, γιατί οἱ ἐνέργειές Του φτάνουν σ' ἐμᾶς, ἐνῶ ἡ οὐσία Του μένει ἀνεξιχνίαστη... Ἐγώ, ὅτι ὑπάρχει Θεός, τό γνωρίζω· ποιά ὅμως εἶναι ἡ οὐσία Του δέν ξέρω, γιατί ἡ διάνοιά μου δέν μπορεῖ νά ἀποκτήσει μιά τέτοια γνώση. Λοιπόν μέ ποιό τρόπο σώζομαι; Μέ τήν πίστη. Στήν πίστη ὅμως εἶναι ἀρκετό νά γνωρίζει ὅτι ὑπάρχει Θεός, ὄχι ποιά εἶναι ἡ οὐσία Του· καί νά γνωρίζει ἐπίσης ὅτι ὁ Θεός ἀνταμείβει ἐκείνους πού Τόν ἀγαποῦν. Ἑπομένως γνώση τῆς θείας οὐσίας εἶναι νά ἀντιλαμβανόμαστε ὅτι δέν μποροῦμε νά γνωρίσουμε τό Θεό μέ τή δύναμη τοῦ νοῦ μας· καί ἄξιο σεβασμοῦ εἶναι ὄχι νά κατανοήσουμε ποιά εἶναι ἡ θεία οὐσία, ἀλλά ὅτι ὑπάρχει οὐσία».

76. Μετάφραση.

«Ἡ ἐλπίδα στόν Κύριο ἔχει μεγάλη δύναμη· εἶναι φρούριο ἀπόρθητο, τεῖχος ἀκαταμάχητο, συμμαχία ἀκατανίκητη, λιμάνι γαλήνιο, πύργος ἀκαταγώνιστος, ὅπλο ἀνίκητο, δύναμη ἀκαταμάχητη, ἡ ὁποία ἀκόμη καί ἀπό τά ἀδιέξοδα βρίσκει διέξοδο. Μέ τήν ἐλπίδα τόν Κύριο ἄοπλοι νίκησαν ὁπλισμένους καί γυναῖκες τούς ἄντρες· ἐπίσης μέ τή δύναμη αὐτή παιδιά ἀναδείχτηκαν μέ πολλή εὐκολία πιό ἰσχυρά καί ἀπό ἐκείνους πού εἶχαν σπουδάσει τήν πολεμική τέχνη.

Καί γιατί ν' ἀπορεῖ κανείς γιά τό ὅτι νίκησαν τούς ἐχθρούς, τή στιγμή πού νίκησαν τόν ἴδιο τόν κόσμο μέ τά ἀπατηλά του θέλγητρα;... Πράγματι, ἡ ἐλπίδα στό Θεό μεταμορφώνει τά πάντα».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

77. ΣΧΕΣΗ ΠΙΣΤΕΩΣ ΚΑΙ ΑΓΑΠΗΣ ΠΡΟΣ ΤΟ ΘΕΟ
(Κλήμεντος τοῦ Ἀλεξανδρέως).

«Ἡ μὲν οὖν πίστις σύντομός ἐστιν, ὡς εἰπεῖν, τῶν κατεπειγόντων γνῶσις, ἡ γνῶσις δὲ ἀπόδειξις τῶν διὰ πίστεως παρειλημμένων ἰσχυρὰ καὶ βέβαιος, διὰ τῆς κυριακῆς διδασκαλίας ἐποικοδομουμένη τῇ πίστει εἰς τὸ ἀμετάπτωτον καὶ μετ' ἐπιστήμης κταταληπτὸν παραπέμπουσα. Καί μοι δοκεῖ πρώτη τις εἶναι μεταβολὴ σωτήριος ἡ ἐξ ἐθνῶν εἰς πίστιν, δευτέρα δὲ ἡ ἐκ πίστεως εἰς γνῶσιν· ἥ δε, εἰς ἀγάπην περαιουμένη, ἐνθένδε ἤδη φίλον φίλῳ τὸ γιγνῶσκον τῷ γιγνωσκομένῳ παρίστησιν».

78. Ο ΤΟΠΟΣ ΚΑΙ Ο ΤΡΟΠΟΣ ΤΗΣ ΠΡΟΣΕΥΧΗΣ
(Ἰωάννου τοῦ Χρυσοστόμου).

«Ὅταν εἴπω τινί· Παρακάλεσον τὸν Θεόν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτόν, λέγει· Παρεκάλεσα ἅπαξ, δεύτερον, τρίτον, δέκατον, εἰκοστὸν καὶ οὐκέτι οὐκ ἔλαβον. Μὴ ἀποστῆς, ἀδελφέ, ἕως ἂν λάβῃς· τέλος αἰτήσεως ἡ δόσις τοῦ αἰτουμένου. Τότε ἀπόστηθι, ὅταν λάβῃς, μᾶλλον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε παράμενε. Κἂν μὴ λάβῃς, αἴτει, ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον, ὅτι ἔλαβες. Εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαρτίζουσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται καὶ οὐκ οἴδασι τί εἶπον· τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. Σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου καὶ τὸν Θεὸν θέλεις εἰσακοῦσαι τῆς εὐχῆς σου; Ἔκλινα, λέγεις, τὰ γόνατα· ἀλλ' ἡ διάνοιά σου ἔξω ἐπέτετο· τὸ σῶμα σου ἔνδον τῆς ἐκκλησίας, καὶ ἡ γνώμη σου

---

77. Περικοπή από τό ἔργο «Στρωματεῖς» Κλήμεντος τοῦ Ἀλεξανδρέως (ΒΕΠΕΣ 8, 271-272).

Πραγματικές παρατηρήσεις: Στή σύντομη περικοπή φαίνεται ἡ τάση τοῦ Κλήμεντος τοῦ Ἀλεξανδρέως, καθώς καί ὅλης τῆς ἀλεξανδρινῆς θεολογικῆς Σχολῆς πρός ἀνύψωση τῆς πίστεως σέ γνώση μέ τά μέσα κυρίως τῆς ἑλληνικῆς φιλοσοφίας.

78. Περικοπή ἀπό τό λόγο τοῦ Χρυσοστόμου «εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας» (Ἑ.Π. 52, 458).

Πραγματικές παρατηρήσεις: Ἡ περικοπή εἶναι γεμάτη παραδείγματα ἀπό τήν καθημερινή ζωή καί τήν Ἁγία Γραφή.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

77. Μετάφραση.

«Ἡ πίστη λοιπόν, θά μποροῦσε νά πεῖ κανείς, εἶναι μιά σύντομη γνώση τῶν ἀναγκαίων. Στή συνέχεια ἡ γνώση αὐτή εἶναι ἰσχυρή καί ἀσφαλής ἀπόδειξη ἐκείνων πού ἔχουν γίνει παραδεχτά μέ τήν πίστη. Ἡ ἀπόδειξη οἰκοδομεῖται μέ τή διδασκαλία τοῦ Κυρίου πάνω στήν πίστη καί ὁδηγεῖ στή σταθερότητα καί στήν κατανόηση τῶν θείων ἀληθειῶν μέ ἀκριβή γνώση. Καί νομίζω ὅτι ἡ πρώτη σωτήρια μεταβολή εἶναι ἡ μεταβολή ἀπό τήν εἰδωλολατρεία στή χριστιανική πίστη· δεύτερη, εἶναι ἡ μεταβολή ἀπό τήν πίστη στή γνώση. Ἡ δεύτερη αὐτή μεταβολή, καταλήγοντας στήν ἀγάπη, παρουσιάζει στή συνέχεια ὡς φίλο στό φίλο τόν ἄνθρωπο, πού ἀποκτᾶ τή γνώση, Θεό, πού γίνεται γνωστός».

78. Μετάφραση.

«Ὅταν εἰπῶ σέ κάποιον: παρακάλεσε τόν Θεό, ζήτησέ Του ὅ,τι θέλεις, ἱκέτευσέ Τον, ἀπαντᾶ: παρακάλεσα μία φορά, δύο φορές, τρεῖς, δέκα, εἴκοσι φορές κι ἀκόμη δέν ἔλαβα τίποτε. Νά μή σταματήσεις τήν προσευχή, ἀδερφέ μου, ὥσπου νά λάβεις· δηλαδή ἡ παράκλησή στόν Θεό γιά βοήθεια τελειώνει, ὅταν σοῦ δοθεῖ ἐκεῖνο πού ζητᾶς. Τήν προσευχή λοιπόν νά τή σταματήσεις, ὅταν ἱκανοποιηθεῖ τό αἴτημά σου· ἤ καλύτερα οὔτε τότε, ἀλλά νά ἐξακολουθεῖς καί πάλι νά προσεύχεσαι. Καί ἄν δέ λάβεις, νά ζητᾶς γιά νά λάβεις· ὅταν ὅμως λάβεις, νά εὐχαριστήσεις ἐπειδή ἔλαβες. Μπαίνουν πολλοί στό ναό, σχεδιάζουν καί λένε ἀναρίθμητους στίχους προσευχῆς, καί βγαίνουν χωρίς νά ξέρουν τί εἶπαν· τά χείλη κινοῦνται, ἀλλ' ἡ ἀκοή τῆς ψυχῆς δέν ἀκούει. Σύ ὁ ἴδιος δέν ἀκοῦς τήν προσευχή σου, καί θέλεις νά τήν εἰσακούσει ὁ Θεός; Γονάτισα, λές· ἡ σκέψη σου ὅμως πετοῦσε ἔξω· τό σῶμα σου ἦταν μέσα στήν ἐκκλησία, ἀλλά ὁ νοῦς σου ἔξω· τό στόμα ἔλεγε τήν προσευχή, ἀλλά ἡ σκέψη λογάριαζε τόκους, συμβόλαια, συναλλαγές, χωράφια, κτήματα, συναναστροφές φίλων. Γιατί ὁ διάβολος, ἐπειδή εἶναι πονηρός καί γνωρίζει ὅτι στόν καιρό τῆς προσευχῆς πετυχαίνουμε μεγάλα πράγματα, τότε ἔρχεται ξαφνικά ἐναντίον μας. Πολλές φορές εἴμαστε ξαπλωμένοι στό κρεβάτι καί δέ σκεφτόμαστε τίποτε· ἤρθαμε νά προσευχηθοῦμε καί ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔξω· τὸ στόμα ἔλεγε τὴν εὐχὴν καὶ ἡ διάνοια ἠρίθμει τόκους, συμβόλαια, συναλλάγματα, χωρία, κτήματα, φίλων συνουσίας. Ὁ γὰρ διάβολος πονηρὸς ὢν καὶ εἰδώς, ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα ἀνύομεν, τότε ἐπέρχεται. Πολλάκις κείμεθα ὕπτιοι ἐν κλίνῃ καὶ οὐδὲν λογιζόμεθα· ἤλθομεν εὔξασθαι καὶ μυρίοι λογισμοί, ἵνα ἐκβάλῃ ἡμᾶς κενούς.

Ταῦτα τοίνυν εἰδὼς ἐν ταῖς εὐχαῖς, ἀγαπητέ, γίνεσθαι, τὴν Χαναναίαν μίμησαι... Κἂν ἔξω ᾖς, κράζε καὶ λέγε· Ἐλέησόν με, μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν· καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. Οὐ ζητεῖται τόπος, ἀλλ' ἀρχὴ τρόπου. Ὁ Ἱερεμίας ἐν βορβόρῳ ἦν καὶ τὸν Θεὸν ἐπεσπάσατο· ὁ Δανιὴλ ἐν λάκκῳ λεόντων καὶ τὸν Θεὸν ἐξευμενίσατο· οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ ἦσαν καὶ τὸν Θεὸν ὑμνοῦντες ἐδυσώπησαν· ὁ ληστὴς ἐσταυρώθη καὶ οὐκ ἐκώλυσεν ὁ σταυρός, ἀλλὰ παράδεισον ἤνοιξεν· ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν καὶ τὸν Θεὸν ἵλεων κατεσκεύασεν· ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους καὶ τὸν Θεὸν ὑπήκοον ἔσχε. Κἂν ἐν βαλανείῳ ᾖς, εὔχου, κἂν ἐν ὁδῷ, κἂν ἐπὶ κλίνης· ὅπου ἐὰν ᾖς, εὔχου. Ναὸς εἶ τοῦ Θεοῦ, μὴ ζήτει τόπον· γνώμης χρεία μόνον».

79. ΟΙ ΩΦΕΛΕΙΕΣ ΑΠΟ ΤΟΝ ΕΚΚΛΗΣΙΑΣΜΟ (Ἰωάννου τοῦ Χρυσοστόμου).

«Οὕτω γὰρ ἡμᾶς ἐντεῦθεν ἐξιέναι δεῖ, ὥσπερ ἐξ ἱερῶν ἀδύτων, ὥσπερ ἐξ αὐτῶν καταβάντας τῶν οὐρανῶν, γενομένους κατεσταλμένους, φιλοσοφοῦντας, ῥυθμῷ πάντα καὶ ποιοῦντας καὶ λέγοντας· καὶ γυνὴ τὸν ἄνδρα ὁρῶσα ἀπὸ συνάξεως ἀναχωροῦντα καὶ τὸν υἱὸν πατὴρ καὶ τὸν πατέρα ὁ παῖς καὶ τὸν δεσπότην ὁ δοῦλος καὶ τὸν φίλον ὁ φίλος καὶ τὸν ἐχθρὸν ὁ ἐχθρός, λαμβανέτωσαν ἅπαντες αἴσθησιν τῆς ἐνταῦθα γενομένης ἡμῖν ὠφελείας· λήψονται δέ, ἂν πραοτέρων, ἂν φιλοσοφωτέρων, ἂν εὐλαβεστέρων ὑμῶν γεγενημένων αἰσθάνωνται. Ἐννόησον οἵας ἀπολαύεις μυσταγωγίας ὁ μεμυημένος

---

79. Περικοπή από τό λόγο τοῦ Χρυσοστόμου «πρός τοὺς μὴ ἀπαντήσαντας εἰς τὴν σύναξιν» (Ἑ.Π. 51, 179).

Πραγματικές παρατηρήσεις: μετά τίνων ἀναπέμπεις... μετά τίνων βοᾷς τό

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διάβολος μᾶς φέρνει ἀναρίθμητες σκέψεις, γιά νά μᾶς βγάλει ἔξω ἀπό τό ναό χωρίς νά ἔχουμε ὠφεληθεῖ τίποτε.

Ὅταν λοιπόν, ἀγαπητέ, γνωρίζεις ὅτι αὐτά γίνονται στίς προσευχές, νά μιμηθεῖς τή Χαναναία... Καί ἄν εἶσαι ἔξω, νά κράζεις καί νά λές ἐλέησέ με χωρίς νά κινεῖς τά χείλη, ἀλλά φωνάζοντας μέ τή σκέψη δυνατά· γιατί, καί ἄν σιωποῦμε, ὁ Θεός μᾶς ἀκούει. Δέν ἔχει σημασία ὁ τόπος πού γίνεται ἡ προσευχή, ἀλλά ὁ τρόπος μέ τόν ὁποῖο γίνεται. Ὁ Ἱερεμίας ἦταν μέσα στό βόρβορο, καί προσέλκυσε κοντά του τό Θεό· ὁ Δανιήλ ἦταν στό λάκκο τῶν λεονταριῶν, καί ἀπέσπασε τήν εὔνοια τοῦ Θεοῦ· οἱ Τρεῖς Παῖδες ἦσαν μέσα στό καμίνι, καί μέ ὕμνους παρακάλεσαν τό Θεό νά τούς βοηθήσει· ὁ ληστής σταυρώθηκε, καί ὁ σταυρός δέν ἐμπόδισε, ἀλλά ἄνοιξε τόν παράδεισο· ὁ Ἰώβ ἦταν σέ ἕνα μέρος μέ κοπριά, καί προσέλκυσε τήν εὔνοια τοῦ Θεοῦ· ὁ Ἰωνᾶς ἦταν στήν κοιλιά τοῦ κήτους, κι ἔκαμε τό Θεό νά τόν ἀκούσει. Καί ἄν εἶσαι μέσα σέ λουτρό, νά προσεύχεσαι, καί ἄν εἶσαι στό δρόμο, καί ἄν εἶσαι στό κρεβάτι· ὅπου καί ἄν εἶσαι, νά προσεύχεσαι. Εἶσαι ναός τοῦ Θεοῦ, νά μή ζητᾶς τόπο· ἡ ἐσωτερική διάθεση καί ἡ σκέψη χρειάζεται μόνο».

79. Μετάφραση.

«Ἔτσι, πράγματι, ἐμεῖς πρέπει νά βγαίνουμε ἀπό τό ναό· σάν νά βγήκαμε ἀπό ἱερά ἄδυτα, σάν νά κατεβήκαμε ἀπό τούς ἴδιους τούς οὐρανούς. Δηλαδή νά ἔχουμε γίνει ἥσυχοι, φιλοσοφημένοι, καί νά κάνουμε καί νά λέμε τά πάντα μέ τάξη. Καί ὅταν ἡ γυναίκα βλέπει τόν ἄντρα της νά φεύγει ἀπό τή λατρευτική σύναξη, καί ὁ πατέρας τό παιδί καί τό παιδί τόν πατέρα καί ὁ ὑπηρέτης τόν κύριο καί ὁ φίλος τό φίλο καί ὁ ἐχθρός τόν ἐχθρό, ἄς κοιτάξουν ὅλοι νά γνωρίσουν τήν ὠφέλεια, πού μᾶς ἔγινε στό ναό. Καί βέβαια θά ἀντιληφθοῦν τήν ὠφέλεια, ἄν διαπιστώσουν ὅτι ἔχετε γίνει πιό ἥμεροι, ὅτι ἔχετε ἀποκτήσει μεγαλύτερη ἀγάπη πρός τήν ἀληθινή σοφία, ὅτι ἔχετε γίνει πιό εὔλαβεῖς. Πρέπει νά ἐννοήσεις ποιά μύηση στά ἱερά μυστήρια ἀπολαμβάνεις, ἐσύ πού ἔχεις μυηθεῖ· μέ ποιούς μαζί ἀπευθύνεις πρός τά

Τρισάγιος· ἐννοεῖ τούς ἀγγέλους, τά Σεραφεῖμ, τά ὁποῖα, κατά τόν Ἠσαΐα, στέκονται κοντά στό θρόνο τοῦ Θεοῦ καί ψάλλουν ἀσταμάτητα τό: «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ» (Ἠσ. στ', 2-3).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σύ, μετὰ τίνων ἀναπέμπεις τὸ μυστικὸν μέλος ἐκεῖνο, μετὰ τίνων βοᾷς τὸ Τρισάγιος. Δίδαξον τοὺς ἔξωθεν, ὅτι μετὰ τῶν Σεραφεὶμ ἐχόρευσας, ὅτι εἰς τὸν δῆμον τὸν ἄνω τελεῖς, ὅτι εἰς τὸν χορὸν ἐνεγράφης τὸν τῶν ἀγγέλων, ὅτι τῷ Δεσπότῃ διελέχθης, ὅτι τῷ Χριστῷ συνεγένου».

80. «ΤΑΠΕΙΝΟΥ ΣΑΥΤΟΝ»
(Ἰωάννου τοῦ Χρυσοστόμου).

«Ὅσον μέγας εἶ, τοσοῦτον ταπείνου σαυτόν. Ὅταν ἀναβῇς εἰς τὸ ὕψος, ἀσφαλισθῆναι χρείαν ἔχεις, ἵνα μὴ πέσῃς... Τί μέγα φρονεῖς, ἄνθρωπος ὤν, τῆς γῆς συγγενής, ὁμοούσιος τῇ τέφρᾳ ἔν τε τῇ φύσει, ἔν τε τῇ γνώμῃ καὶ τῇ προαιρέσει τῶν πραγμάτων; Σήμερον πλούσιος, αὔριον πένης· σήμερον ὑγιαίνων, αὔριον νοσῶν· σήμερον χαίρων, αὔριον λυπούμενος· σήμερον ἐν δόξῃ, αὔριον ἐν ἀτιμίᾳ· σήμερον ἐν νεότητι, αὔριον ἐν γήρᾳ. Μὴ ἵσταταί τι τῶν ἀνθρωπίνων, ἀλλ' ὥσπερ τῶν ποταμίων ρευμάτων μιμεῖται τὸν δρόμον; Ὁμοῦ τε γὰρ ἐφάνη καὶ σκιᾶς ταχύτερον ἡμᾶς καταλιμπάνει. Τὶ οὖν μέγα φρονεῖς, ἄνθρωπε, ὁ καπνός, ἡ ματαιότης; Ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη. Ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ. Ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν».

81. ΠΡΟΣΩΠΟΓΡΑΦΙΑ ΤΟΥ ΤΑΠΕΙΝΟΦΡΟΝΑ
(Μεγάλου Βασιλείου).

«Πῶς εἰς τὴν σωτήριον ταπεινοφροσύνην καταβησόμεθα, τὸν ὀλέθριον ὄγκον τῆς ὑπερηφανείας καταλιπόντες; Ἐὰν διὰ πάντων ἀσκῶμεν τὸ τοιοῦτο καὶ μηδὲν παρορῶμεν ὡς οὐ παρὰ τοῦτο βλαβησόμενοι. Τοῖς γὰρ ἐπιτηδεύμασιν ὁμοιοῦται ψυχὴ καί, πρὸς ἃ πράτ-

---

80. Περικοπή ἀπό τήν 4η ὁμιλία τοῦ Χρυσοστόμου στό Ἡσ. στ΄, 1 (Ἑ.Π. 56, 125).

Πραγματικές παρατηρήσεις: Ἄνθρωπος γάρ ματαιότητι... αὐτοῦ ἐξέπεσε· φράσεις ἀπό τούς ψαλμ. 143, 4· 102, 15· Ἡσ. μ΄, 8.

81. Περικοπή ἀπό τήν 20ή ὁμιλία τοῦ Μ. Βασιλείου «Περί ταπεινοφροσύνης» (Ἑ.Π. 31, 537-540).

Πραγματικές παρατηρήσεις: Κατά τόν Ἰώβ· Ἰδές σχετικά Ἰώβ λα΄, 34. Ὅλη ἡ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄνω τή μυστική ἐκείνη μελωδία· μέ ποιούς λές μεγαλόφωνα τόν Τρισάγιο ὕμνο. Νά διδάξεις μέ τή συμπεριφορά σου τούς ἄλλους, ὅτι ἔλαβες μέρος στόν ἱερό χορό μαζί μέ τά Σεραφείμ, ὅτι βρίσκεσαι στήν οὐράνια πολιτεία, ὅτι γράφτηκες στή χορεία τῶν ἀγγέλων, ὅτι συνομίλησες μέ τόν Κύριο, ὅτι συναναστράφηκες τό Χριστό».

80. Μετάφραση.

«Ὅσο εἶσαι σπουδαῖος, ἄλλο τόσο νά εἶσαι ταπεινός. Ὅταν ἀνεβεῖς ψηλά, ἔχεις ἀνάγκη νά πάρεις τά μέτρα σου, γιά νά μήν πέσεις... Γιατί ἔχεις μεγάλη ἰδέα γιά τόν ἑαυτό σου, ἐνῶ εἶσαι ἄνθρωπος, συγγενής μέ τή γῆ, τό ἴδιο πράγμα μέ τή στάχτη σέ ὅλα: καί στή φύση καί στή γνώμη καί στήν ἐκλογή τῶν πραγμάτων; Σήμερα εἶσαι πλούσιος, αὔριο φτωχός· σήμερα ὑγιής, αὔριο ἄρρωστος· σήμερα χαρούμενος, αὔριο λυπημένος· σήμερα δοξασμένος, αὔριο περιφρονημένος· σήμερα νέος, αὔριο γέρος. Μήπως κάτι ἀπό τά ἀνθρώπινα παραμένει σταθερό; Ἤ μήπως, ἀντίθετα, τό καθετί μιμεῖται τήν κίνηση τῶν ποταμῶν πού κυλοῦν; Δέν προλαβαίνουμε καλά καλά νά τό δοῦμε, καί μᾶς ἐγκαταλείπει πιό γρήγορα καί ἀπό τή σκιά. Γιατί λοιπόν, ἄνθρωπέ μου, ἔχεις ἀλαζονεία, ἐνῶ εἶσαι καπνός, ματαιότητα; Πράγματι, ὁ ἄνθρωπος ταυτίζεται μέ τή ματαιότητα. Οἱ ἡμέρες τῆς ζωῆς του εἶναι σάν χορτάρι. Ξεραίνεται τό χορτάρι καί τό ἄνθος του πέφτει μαραμένο».

81. Μετάφραση.

«Μέ ποιό τρόπο θά φτάσουμε στήν ταπεινοφροσύνη, πού εἶναι σωτήρια ἀρετή; μήπως ὅταν ἀποβάλουμε τό ὀλέθριο ἐξόγκωμα τῆς ὑπερηφάνειας; Καί βέβαια, ἄν σέ ὅλα κάνουμε αὐτή τήν προσπάθεια καί δέν παραμελοῦμε τίποτε μέ τήν πρόφαση ὅτι τάχα δέ θά βλαφτοῦμε. Γιατί ἡ ψυχή ἐξομοιώνεται μ' ἐκεῖνα πού κάνουμε, καί λαβαίνει τόν τύπο ἐκείνων πού κάνει, καί διαμορφώνεται ἀνάλογα πρός αὐτά.

περικοπή εἶναι μιά θαυμάσια προσωπογραφία τοῦ ἀνθρώπου πού ἔχει ταπεινοφροσύνη, καί παρουσιάζει πολλά ἀπό τά χαρακτηριστικά γνωρίσματά του.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τει, τυποῦται καὶ πρὸς ταῦτα σχηματίζεται. Ἔστω σοι καὶ σχῆμα καὶ ἱμάτιον καὶ βάδισμα καὶ καθέδρα καὶ τροφῆς κατάστασις καὶ οἶκος καὶ τὰ ἐν οἴκῳ σκεύη πάντα πρὸς εὐτέλειαν ἠσκημένα· καὶ λόγος καὶ ᾠδὴ καὶ ἡ τοῦ πλησίον ἔντευξις καὶ ταῦτα πρὸς μετριότητα μᾶλλον ἢ πρὸς ὄγκον ὁράτω. Μή μοι κόμπους ἐν λόγῳ σοφιστικούς, μηδὲ ἐν ᾠδαῖς ἡδυφωνίας ὑπερβαλλούσας, μηδὲ διαλέξεις ὑπηρηφάνους καὶ βαρείας· ἀλλ' ἐν ἅπασιν ὑφαίρει τοῦ μεγέθους· χρηστὸς πρὸς τὸν φίλον, ἤπιος πρὸς τὸν οἰκέτην, ἀνεξίκακος πρὸς τοὺς θρασεῖς, φιλάνθρωπος πρὸς τοὺς ταπεινούς, παρηγορῶν κακουμένους, ἐπισκεπτόμενος τοὺς ἐν ὀδύναις, μηδένα καθάπαξ ὑπερορῶν, γλυκὺς ἐν προσηγορίᾳ, φαιδρὸς ἐν ἀποκρίσει, δεξιός, εὐπρόσιτος ἅπασι, μήτε σεαυτοῦ διεξιὼν ἐγκώμια, μηδὲ ἑτέρους λέγειν παρασκευάζων, μηδὲ λόγον ἄσεμνον ἀποδεχόμενος, ἐπικαλύπτων ὅσα δυνατὸν τῶν σεαυτοῦ πλεονεκτημάτων· ἐπὶ δὲ τοῖς ἁμαρτήμασι κατηγορῶν σεαυτοῦ καὶ μὴ τοὺς ἑτέρων ἐλέγχους ἀναμένων, ἵνα ᾖς, κατὰ τὸν Ἰώβ, ὃς οὐ διετράπη πολυσχλίαν πόλεως ἐπ' αὐτῶν ἐξαγορεῦσαι τὸ ἴδιον πταῖσμα. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξελέγχων (αὔθαδες γὰρ τὸ τοιοῦτο), μηδὲ ἐπὶ μικροῖς καταδικάζων, ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων... Μὴ τοίνυν ζημίου σεαυτόν, ἐπὶ ἀνθρώπων φαίνεσθαι βουλόμενος. Ἐπειδὴ Θεὸς μέγας θεατής, φιλοδόξησον ἐπὶ Θεοῦ».

82. Η ΕΠΑΦΗ ΜΕ ΤΗΝ ΑΨΥΧΗ ΚΑΙ ΕΜΨΥΧΗ ΦΥΣΗ (Μεγάλου Βασιλείου).

«Ὄρος γὰρ ἐστιν ὑψηλόν, βαθείᾳ ὕλῃ κεκαλυμμένον, ψυχροῖς ὕδασι καὶ διαφανέσιν εἰς τὸ κατ' ἄρκτον κατάρρυτον. Τούτου ταῖς ὑπωρείαις πεδίον ὕπτιον ὑπεστόρεσται, ταῖς ἐκ τοῦ ὄρους νοτίσι δι-

---

82. Περικοπή από τή 14η επιστολή τοῦ Μ. Βασιλείου πρός τό Γρηγόριο Ναζιανζηνό (Ἑ.Π. 32, 276-277). Τήν επιστολή αὐτή ἔγραψε ὁ Μ. Βασίλειος από ένα ὡραῖο ἐρημικό μέρος, πού βρισκόταν κοντά στόν Ἴρι ποταμό, ὅπου μόνασε γιά ένα χρονικό διάστημα.

Πραγματικές παρατηρήσεις: Ὅλη ἡ περικοπή μαρτυρεῖ τήν ἀγάπη τοῦ Μ. Βασιλείου πρός τή φύση. Γενικά ὅλοι οἱ Πατέρες, σχετικά μέ τή φύση, εἶχαν βιώματα ἀνάλογα πρός ἐκεῖνα πού εἶχε ὁ Ἀλέξανδρος Παπαδιαμάντης, ὁ ὁποῖος στό «μανιφέστο», πού βάζει μπροστά στόν «Λαμπριάτικον Ψάλτην», ὁμολογεῖ:

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καί ἡ ἐμφάνιση καί τό ἔνδυμα καί ὁ τρόπος τοῦ βαδίσματος καί τό κάθισμα καί ὁ τρόπος τῆς τροφῆς καί τό σπίτι καί τά σκεύη τοῦ σπιτιοῦ ἄς εἶναι ὅλα τακτοποιημένα μέ ἁπλότητα· ἀκόμη καί ὁ λόγος καί τό ἄσμα καί ἡ συνάντηση μέ τόν πλησίον, καί αὐτά ἄς ἀποβλέπουν καλύτερα στή χρήση τοῦ μέτρου, παρά στήν ἐπιδεικτική ἐξόγκωση.

Νά μή μοῦ χρησιμοποιεῖς σοφιστικούς καμπασμούς στό λόγο, οὔτε στά ἄσματα ὑπερβολικά γλυκιές φωνές, οὔτε συζητήσεις ὑπερήφανες καί φορτικές γιά τούς ἄλλους, ἀλλά σέ ὅλα νά ἐλαττώνεις τήν ἐπιδεικτική μεγαλοποίηση. Νά εἶσαι ὠφέλιμος στό φίλο, ἥμερος πρός τόν ὑπηρέτη, ἀνεξίκακος πρός τούς θρασεῖς, φιλάνθρωπος πρός ἐκείνους πού βρίσκονται σέ χαμηλή κοινωνική κατάσταση. Νά παρηγορεῖς τούς πάσχοντες. Νά ἐπισκέπτεσαι ἐκείνους πού βρίσκονται σέ θλίψεις. Νά μήν περιφρονεῖς κανέναν ἀπολύτως. Νά εἶσαι εὐχάριστος στήν προσφώνηση, ἀνοιχτόκαρδος στήν ἀπάντηση, βολικός, εὐκολόπιστος σέ ὅλους. Νά μήν ἐγκωμιάζεις τόν ἑαυτό σου, οὔτε καί τούς ἄλλους νά παρακινεῖς νά σέ ἐγκωμιάζουν. Νά μή δέχεσαι ἄσεμνο λόγο. Νά κρύβεις ὅσα μπορεῖς ἀπό τά πλεονεκτήματά σου. Γιά τά ἁμαρτήματά σου νά γίνεσαι ὁ ἴδιος κατήγορος τοῦ ἑαυτοῦ σου καί νά μήν ἀναμένεις τούς ἐλέγχους τῶν ἄλλων, ὥστε νά μοιάζεις μέ τόν Ἰώβ, ὁ ὁποῖος δέν ἀπέφυγε τόν πολύ ὄχλο τῆς πόλεως, γιά νά ἐξομολογηθεῖ μπροστά τους τό σφάλμα του. Νά μήν εἶσαι αὐστηρός στίς ἐπιπλήξεις καί νά μήν ἐλέγχεις γρήγορα καί μέ ἐμπάθεια (γιατί αὐτό εἶναι αὐθάδεια)· οὔτε νά καταδικάζεις τόν ἄλλο γιά μικρά σφάλματα, σάν νά εἶσαι σύ ἀκριβοδίκαιος... Νά μή βλάπτεις λοιπόν τόν ἑαυτό σου, θέλοντας νά φαίνεσαι σπουδαῖος στούς ἀνθρώπους. Ἐπειδή ὁ Θεός εἶναι ὁ μέγας θεατής, νά στρέψεις τή φιλοδοξία σου στό Θεό».

82. Μετάφραση.

«Ἐδῶ ὑπάρχει ἕνα ψηλό βουνό, σκεπασμένο μέ πυκνό δάσος. Τό βουνό αὐτό στό βορινό μέρος κατακλύζεται ἀπό ψυχρά καί ὁλοκάθαρα νερά. Στούς πρόποδές του ὑπάρχει μιά πεδινή ἔκταση, τήν

«Ἐν ὅσῳ ζῶ καὶ ἀναπνέω καὶ σωφρονῶ, δὲν θὰ παύσω πάντοτε νὰ ὑμνῶ μετὰ λατρείας τὸν Χριστόν μου, νὰ περιγράφω μετ' ἔρωτος τὴν φύσιν...».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ηνεκῶς πιαινόμενον. Ὕλη δὲ τούτῳ αὐτομάτως περιφυεῖσα ποικίλων καὶ παντοδαπῶν δένδρων, μικροῦ δεῖν, ἀντὶ ἕρκους αὐτῷ γίνεται, ὡς μικρὰν εἶναι πρὸς τοῦτο καὶ τὴν Καλυψοῦς νῆσον, ἥν δὴ πασῶν πλέον Ὅμηρος εἰς κάλλος θαυμάσας φαίνεται. Καὶ γὰρ οὐδὲ πολὺ ἀποδεῖ τοῦ νῆσος εἶναι, ἕνεκά γε τοῦ πανταχόθεν ἐρύμασι περιείργεσθαι. Φάραγγες μὲν γὰρ αὐτῷ βαθεῖαι κατὰ δύο μέρη περιερρώγασι· κατὰ πλευρὰν δὲ ἀπὸ κρημνοῦ ὁ ποταμὸς ὑπορρέων, τεῖχός ἐστι καὶ αὐτὸς διηνεκὲς καὶ δυσέμβατον... Ὁ δέ, ὀξύτατα ὧν ἐγὼ οἶδα ποταμῶν ρέων, βραχύ τι τῇ γείτονι πέτρᾳ περιτραχύνεται· ἀφ' ἧς ἀναχεόμενος, εἰς δίνην βαθεῖαν περιειλεῖται· ὅψιν δὲ ἡδίστην ἐμοὶ καὶ παντὶ θεατῇ παρεχόμενος καὶ χρείαν τοῖς ἐπιχωρίοις αὐταρκεστάτην, ἰχθύων τε πλῆθος ἀμύθητον ταῖς δίνας ἐντρέφων. Τὶ δεῖ λέγειν τὰς ἐκ τῆς γῆς ἀναπνοὰς ἢ τὰς ἐκ τοῦ ποταμοῦ αὔρας; Τό γε μὴν τῶν ἀνθέων πλῆθος ἢ τῶν ᾠδικῶν ὀρνίθων ἄλλος μὲν ἄν τις θαυμάσειεν· ἐμοὶ δὲ οὐ σχολὴ τούτοις προσέχειν τὸν νοῦν. Ὃ δὲ μέγιστον εἰπεῖν ἔχομεν τοῦ χωρίου, ὅτι, πρὸς πᾶσαν ὑπάρχον καρπῶν φορὰν ἐπιτήδειον, δι' εὐκαιρίαν τῆς θέσεως ἥδιστον ἐμοὶ πάντων καρπῶν τὴν ἡσυχίαν τρέφει· οὐ μόνον καθότι τῶν ἀστικῶν θορύβων ἀπήλλακται· ἀλλ' ὅτι οὔτε ὁδίτην τινὰ παραπέμπει πλὴν τῶν κατὰ θήραν ἐπιμιγνυμένων ἡμῖν. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ θηροτρόφος ἐστίν, οὐχὶ ἄρκτων ἢ λύκων, μὴ γένοιτο!, ἀλλ' ἐλάφων ἀγέλας καὶ αἰγῶν ἀγρίων καὶ λαγωοὺς βόσκει καὶ εἴ τι τούτοις ὅμοιον».

83. Η ΧΡΗΣΗ ΤΩΝ ΥΛΙΚΩΝ ΑΓΑΘΩΝ (Μεγάλου Βασιλείου).

«Εἴτε γὰρ ἐσθίετε, φησίν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Καθεζόμενος ἐπὶ τραπέζης, προσεύχου· προσφερόμενος τὸν ἄρτον, τῷ δεδωκότι τὴν χάριν ἀποπλήρου· οἴνῳ

---

83. Περικοπή από τό λόγο τοῦ Μ. Βασιλείου στή μάρτυρα Ἰουλίττα (Ἑ.Π. 31, 244).

Πραγματικές παρατηρήσεις: «Εἴτε γὰρ ἐσθίετε... ποιεῖτε»· Α΄ Κορ. ι΄, 31. Ὅλα τά ὑλικά ἀγαθά θεωροῦνται ἀπό τούς Πατέρες ὡς εὐλογία Θεοῦ. Μέ τήν ἐπίδραση τῆς διδασκαλίας τους τά λειτουργικά κείμενα τῆς Ἐκκλησίας μας ἔχουν εὐχές «εἰς χωράφια, κήπους, ἀμπελῶνας», «ἐπὶ εὐλογήσει σπόρου», «εἰς μετάληψιν σταφυλῆς», «ἐπὶ εὐλογήσει οἴνου», «εἰς τὸ εὐλογῆσαι ἅλας» κτλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁποία κάνουν πολύ εὔφορη τά νερά τοῦ βουνοῦ. Τό τοπίο αὐτό τό περιβάλλει, σάν φράκτης σχεδόν, δάσος ἀπό δέντρα κάθε εἴδους καί ποικιλίας, πού φύτρωσαν ὁλόγυρα μόνα τους. Εἶναι τέτοια ἡ ὀμορφιά του, ὥστε καί τό νησί τῆς Καλυψῶς, τό ὁποῖο φαίνεται ὅτι ὁ Ὅμηρος τό θαύμασε περισσότερο ἀπ' ὅλα γιά τήν ὀμορφιά του, νά ὑστερεῖ σέ σύγκριση πρός αὐτό.

Καί πράγματι, δέν ὑπολείπεται καί πολύ ἀπό νησί, γιατί περικλείεται ὁλόγυρα μέ φυσικά περιφράγματα. Καί συγκεκριμένα, βαθιά φαράγγια τό διασχίζουν τριγύρω σέ δύο μέρη. Ἐπίσης τό ποτάμι πού κυλᾶ πρός τά κάτω, δίπλα ἀπό τόν γκρεμό, εἶναι καί αὐτό κατά κάποιο τρόπο ἕνα συνεχές καί δύσβατο τεῖχος. Τό ποτάμι τοῦτο, καθώς τρέχει πιό ὁρμητικά ἀπό τά ποτάμια πού γνωρίζω ἐγώ, ἀγριεύει γιά λίγο προσκρούοντας στό γειτονικό βράχο· ἀπό ἐδῶ τά νερά του, γυρίζοντας πρός τά πίσω, σχηματίζουν ἕναν βαθύ ὑδατοστρόβιλο. Τό θέαμα τοῦτο εἶναι πολύ εὐχάριστο σ' ἐμένα καί σέ κάθε θεατή. Ἐπίσης τό ποτάμι ὠφελεῖ πολύ τούς κατοίκους, ἐπειδή στίς δίνες του τρέφει πολλά ψάρια. Καί τώρα τί πρέπει νά εἰπῶ γιά τά δροσερά ἀεράκια, πού ἔρχονται ἀπό τήν κατάφυτη γῆ, ἤ γιά τά δροσερά ἀεράκια, πού ἔρχονται ἀπό τό ποτάμι; Βέβαια, ἄλλος θά μποροῦσε νά θαυμάσει τό πλῆθος τῶν λουλουδιῶν καί τῶν ὠδικῶν πουλιῶν. Σ' ἐμένα ὅμως δέν ὑπάρχει ἐλεύθερος χρόνος, γιά νά ἔχω τό νοῦ μου καί σ' αὐτά. Ἀλλά ἡ μεγαλύτερη ὠφέλεια, πού ἔχουμε ἀπό τό τοπίο, εἶναι τό γεγονός ὅτι, ἐνῶ τοῦτο εἶναι κατάλληλο γιά κάθε παραγωγή καρπῶν ἐξαιτίας τῆς κατάλληλης θέσεώς του, μοῦ παρέχει τήν ἡσυχία ὡς τόν πιό γλυκό ἀπ' ὅλους τούς καρπούς. Καί τοῦτο, ὄχι μόνο γιατί εἶναι ἀπαλλαγμένο ἀπό τούς θορύβους τῆς πόλεως,ἀλλά καί γιατί δέν ἀφήνει νά περάσει πρός τά ἐδῶ κανείς ὁδοιπόρος, ἐκτός ἀπό ἐκείνους πού συναναστρέφονται μαζί μας κατά τό χρόνο πού ἀσχολοῦνται μέ τό κυνήγι. Γιατί, ἐκτός ἀπό τά ἄλλα, ὁ τόπος τρέφει καί διάφορα ζῶα, ὄχι βέβαια ἀρκοῦδες ἤ λύκους, ἄς μή γίνει τέτοιο πράγμα!, ἀλλά κοπάδια ἐλάφια καί ἄγριες γίδες, λαγούς καί ἄλλα τέτοια ζῶα».

83. Μετάφραση.

«Εἴτε τρῶτε, λέγει ὁ Ἀπ. Παῦλος, εἴτε πίνετε, εἴτε κάνετε ὁτιδήποτε ἄλλο, ὅλα νά τά κάνετε γιά τή δόξα τοῦ Θεοῦ». Λοιπόν, ὅταν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ ἀσθενὲς τοῦ σώματος ὑπερείδων, μέμνησο τοῦ παρεχομένου σοι τὸ δῶρον εἰς εὐφροσύνην καρδίας καὶ παραμυθίαν ἀρρωστημάτων. Παρῆλθεν ἡ χρεία τῶν βρωμάτων; Ἡ μέντοι μνήμη τοῦ εὐεργέτου μὴ παρερχέσθω. Τὸν χιτῶνα ἐνδυόμενος, εὐχαρίστει τῷ δεδωκότι· τὸ ἱμάτιον περιβαλλόμενος, αὔξησον τὴν εἰς Θεὸν ἀγάπην, ὃς καὶ χειμῶνι καὶ θέρει ἐπιτήδεια ἡμῖν σκεπάσματα ἐχαρίστατο, τήν τε ζωὴν ἡμῶν συντηροῦντα καὶ τὸ ἄσχημον περιστέλλοντα. Ἐπληρώθη ἡ ἡμέρα; Εὐχαρίστει τῷ τὸν ἥλιον μὲν εἰς ὑπηρεσίαν τῶν ἡμερινῶν ἔργων χαρισαμένῳ ἡμῖν, πῦρ δὲ παρασχομένῳ τοῦ φωτίζειν τὴν νύκτα καὶ ταῖς λοιπαῖς χρείαις ταῖς κατὰ τὸν βίον ὑπηρετεῖν».

84. ΧΡΙΣΤΙΑΝΙΣΜΟΣ ΚΑΊ ΣΩΜΑ. Η ΑΦΘΑΡΣΙΑ ΩΣ ΠΡΟΟΡΙΣΜΟΣ ΤΟΥ ΣΩΜΑΤΟΣ (Γρηγορίου Νύσσης).

«Ἀνάστασίς ἐστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασις... Στάχυες γὰρ ὄντες κατ' ἀρχάς, ἐπειδὴ τῷ καύσωνι τῆς κακίας κατεξηράνθημεν, ὑπολαβοῦσα ἡμᾶς ἡ γῆ διὰ τοῦ θανάτου λυθέντας, πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναστάσεως στάχυν ἀναδείξει τὸν γυμνὸν τοῦτον κόκον τοῦ σώματος, εὐμεγέθη τε καὶ ἀμφιλαφῆ καὶ ὄρθιον καὶ εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον, τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρισμάτων ὡραϊζόμενον. Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν».

85. Η ΚΑΛΗ ΧΡΗΣΗ ΤΗΣ ΝΗΣΤΕΙΑΣ (Ἰωάννου τοῦ Χρυσοστόμου;).

«Καθάπερ οὖν χειμῶνος παρελθόντος καὶ θέρους φανέντος, ἕλκει μὲν πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης, ἀποσμήχει δὲ ὁ στρατι-

---

84. Περικοπή από τό λόγο τοῦ Γρηγορίου Νύσσης «περὶ ψυχῆς καὶ ἀναστάσεως» (Ἑ.Π. 46, 148 καί 157).

Πραγματικές παρατηρήσεις: Ὅλη ἡ περικοπή μᾶς ὑπενθιμίζει τή διδασκαλία τοῦ Ἀπ. Παύλου στήν Α΄ Κορ. κεφ. ιε΄.

85. Ἀποσπάσματα από τήν 3η ὁμιλία τοῦ Χρυσοστόμου «εἰς ἀνδριάντας» (Ἑ.Π. 49, 47-59).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κάθεσαι στό τραπέζι, νά προσεύχεσαι· ὅταν τρῶς τό ψωμί, νά εὐχαριστεῖς ἐκεῖνον πού στό ἔχει δώσει· ὅταν πίνεις τό κρασί καί τονώνεις μέ αὐτό τήν ἀσθενική φύση τοῦ σώματός σου, νά θυμᾶσαι ἐκεῖνον πού σοῦ παρέχει τό δῶρο αὐτό, γιά νά σοῦ δημιουργεῖ ψυχική ἀγαλλίαση καί νά σέ ἀνακουφίζει, ὅταν εἶσαι ἄρρωστος. Περνᾶ ἡ ἀνάγκη τῶν τροφῶν; Ἄς μήν περνᾶ ὅμως ἡ θύμηση τοῦ εὐεργέτη. Ὅταν φορεῖς τό πουκάμισο, νά ἐκφράζεις εὐχαριστία σ' ἐκεῖνον πού στό ἔχει δώσει· ὅταν φορεῖς τό πανωφόρι, νά ἀγαπήσεις περισσότερο τό Θεό, ὁ ὁποῖος καί γιά τό χειμώνα καί γιά τό καλοκαίρι μᾶς χάρισε τά κατάλληλα ἐνδύματα, τά ὁποῖα προστατεύουν τή ζωή μας καί κρύβουν τήν ἀσχήμια μας. Τελειώνει ἡ ἡμέρα; Νά εὐχαριστεῖς Αὐτόν πού μᾶς χάρισε τόν ἥλιο, γιά νά κάνουμε τίς ἐργασίες τῆς ἡμέρας, καί μᾶς ἔδωσε τή φωτιά, γιά νά μᾶς φωτίζει τή νύχτα καί γιά νά ἐξυπηρετεῖ τίς ὑπόλοιπες ἀνάγκες τῆς ζωῆς».

84. Μετάφραση.

«Ἀνάσταση εἶναι τό νά ἀποκτήσει ἡ φύση μας πάλι τήν παραδεισιακή της κατάσταση... Ἐφόσον κατά κάποιο τρόπο μοιάζουμε μέ τά στάχυα, ἔχουμε καταξεραθεῖ ἀπό τή φοβερή ξέστη τῆς ἁμαρτίας. Ἡ γῆ ὅμως πού μᾶς δέχτηκε, ἀφοῦ διαλυθήκαμε μέ τό θάνατο, θά ἀναδείξει στήν ἄνοιξη τῆς ἀναστάσεως τό σῶμα μας, πού μοιάζει μέ γυμνό σπόρο, σέ ἕνα στάχυ ψηλό, λικνιζόμενο, ὄρθιο καί διευθυνόμενο πρός τό ὕψος τοῦ οὐρανοῦ· σ' ἕνα στάχυ στολισμένο μέ τήν ἀφθαρσία καί τά ἄλλα θεϊκά γνωρίσματα. Πραγματικά, πρέπει ἡ θνητή τούτη φύση μας νά ντυθεῖ τήν ἀφθαρσία».

85. Μετάφραση.

«Λοιπόν, ὅπως ἀκριβῶς ὅταν περάσει ὁ χειμώνας καί ἀρχίσει τό καλοκαίρι, ὁ ναυτικός τραβᾶ τό πλοῖο του στή θάλασσα, ὁ στρατιώτης καθαρίζει τά ὅπλα του καί ἑτοιμάζει τό ἄλογο γιά τόν πόλεμο, ὁ γεωργός ἀκονίζει τό δραπάνι του, ὁ ὁδοιπόρος ἀρχίζει μέ θάρρος μακρινό ἀποδημητικό ταξίδι καί ὁ ἀθλητής γδύνεται καί γυμνώνεται, γιά νά λάβει μέρος στούς ἀγῶνες· τό ἴδιο πρέπει νά κάμουμε καί ἐμεῖς τώρα πού ἄρχισε ἡ νηστεία σάν κάποιο πνευματικό καλοκαίρι. Δηλαδή, ὡς στρατιῶτες τοῦ Χριστοῦ, ἄς καθαρίσουμε τά πνευματικά

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ώτης τὰ ὅπλα καὶ παρασκευάζει τὸν ἵππον εἰς πόλεμον, καὶ γεωργὸς ἀκονᾷ δρέπανον καὶ ὁδοιπόρος θαρρῶν ἀποδημίας ἅπτεται μακρᾶς καὶ πρὸς τοὺς ἀγῶνας ἀθλητὴς ἀποδύεται καὶ γυμνοῦται· οὕτω δὴ καὶ ἡμεῖς, καθάπερ θέρους πνευματικοῦ τινος τῆς νηστείας φανείσης, καὶ ὡς στρατιῶται τὰ ὅπλα ἀποσμήξωμεν καὶ ὡς γεωργοὶ τὴν δρεπάνην ἀκονήσωμεν καὶ ὡς κυβερνῆται πρὸς τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν τοὺς λογισμοὺς ἀντιτάξωμεν καὶ ὡς ὁδῖται τῆς εἰς τὸν οὐρανὸν ἀποδημίας ἁψώμεθα καὶ ὡς ἀθληταὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσώμεθα. Ὁ γὰρ πιστὸς καὶ γεωργὸς καὶ κυβερνήτης καὶ στρατιώτης καὶ ἀθλητὴς καὶ ὁποιπόρος ἐστί... Νηστείαν δὲ οὐ ταύτην λέγω τὴν τῶν πολλῶν, ἀλλὰ τὴν ἀκριβῆ νηστείαν, οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτημάτων... Φάρμακόν ἐστιν ἡ νηστεία, ἀλλὰ τὸ φάρμακον, κἂν μυριάκις ὠφέλιμον ᾖ, πολλάκις ἄχρηστον γίνεται διὰ τὴν ἀπειρίαν τοῦ χρωμένου. Καὶ γὰρ καὶ καιρὸν εἰδέναι χρή, καθ' ὅν δεῖ τοῦτο ἐπιτιθέναι, καὶ ποσότητα αὐτοῦ τοῦ φαρμάκου καὶ σώματος κρᾶσιν τὴν δεχομένην καὶ χώρας φύσιν καὶ ὥραν ἔτους καὶ δίαιταν κατάλληλον καὶ πολλὰ ἕτερα· ὧν ὅπερ ἂν παροφθείη, τοῖς ἄλλοις λυμανεῖται πᾶσι τοῖς εἰρημένοις».

86. Ο ΤΕΧΝΙΚΟΣ ΠΟΛΙΤΙΣΜΟΣ ΩΣ ΔΗΜΙΟΥΡΓΗΜΑ ΤΟΥ ΑΝΘΡΩΠΙΝΟΥ ΠΝΕΥΜΑΤΟΣ (Μεγάλου Βασιλίου).

«Ψυχὴν ἔλαβες νοεράν, δι' ἧς Θεὸν περινοεῖς, τῶν ὄντων τὴν φύσιν λογισμῷ καθορᾷς, σοφίας δρέπῃ καρπὸν ἥδιστον. Πάντα μέν σοι τὰ χερσαῖα ζῷα, ἥμερά τε καὶ ἄγρια, πάντα δὲ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ ὅσα τὸν ἀέρα διαπέταται τοῦτον, δοῦλά ἐστι καὶ ὑποχείρια. Οὐ σὺ μέντοι τέχνας ἐξεῦρες καὶ πόλεις συνεστήσω καὶ ὅσα ἀναγκαῖα καὶ ὅσα πρὸς τρυφὴν ἐπενόησας; Οὐ βάσιμά σοι τὰ πελάγη διὰ τὸν λόγον; Οὐ γῆ καὶ θάλαττα ὑπηρετεῖ τῷ βίῳ τῷ σῷ; Οὐκ ἀὴρ καὶ οὐρανὸς καὶ ἀστέρων χορεῖαι σοὶ τὴν ἑαυτῶν ἐπιδείκνυνται τάξιν;».

---

86. Περικοπή από τήν ομιλία τοῦ Μ. Βασιλείου στό «Πρόσεχε σεαυτῷ» (Ε.Π. 31, 212).

Πραγματικές παρατηρήσεις: Οὐκ ἀὴρ...καὶ ἀστέρων χορεῖαι τὴν ἑαυτῶν ἐπι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μας ὅπλα· ὡς γεωργοί, ἄς ἀκονίσουμε τό δραπάνι τῆς πίστεώς μας· ὡς κυβερνῆτες, ἄς ἀντιτάξουμε τή λογική στά κύματα τῶν ἄτοπων ἐπιθυμιῶν· ὡς ὁδοιπόροι, ἄς ἀρχίσουμε τό ἀποδημητικό ταξίδι πρός τόν οὐρανό· ὡς ἀθλητές, ἄς ἑτοιμαστοῦμε γιά τούς πνευματικούς ἀγῶνες ἐναντίον τοῦ κακοῦ.

